# ΤΩΒΙΤ

1 *ΒΙΒΛΟΣ λόγων Τωβίτ, τοῦ Τωβιήλ, τοῦ
Ἀνανιήλ, τοῦ Ἀδουήλ, τοῦ Γαβαήλ, ἐκ τοῦ
σπέρματος Ἀσιήλ, ἐκ τῆς φυλῆς Νεφθαλίμ,
2 ὃς ᾐχμαλωτεύθη ἐν ἡμέραις Ἐνεμεσσάρου
τοῦ βασιλέως Ἀσσυρίων ἐκ Θίσβης, ἥ ἐστιν
ἐκ δεξιῶν Κυδίως τῆς Νεφθαλὶ ἐν τῇ
Γαλιλαίᾳ ὑπεράνω Ἀσήρ. ἐγὼ Τωβὶτ ὁδοῖς
ἀληθείας ἐπορευόμην καὶ δικαιοσύνης πάσας
τὰς ἡμέρας τῆς ζωῆς μου
3 καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς
ἀδελφοῖς μου καὶ τῷ ἔθνει, τοῖς
προπορευθεῖσι μετ᾿ ἐμοῦ εἰς χώραν
Ἀσσυρίων εἰς Νινευῆ.
4 καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν τῇ γῇ
Ἰσραὴλ νεωτέρου μου ὄντος, πᾶσα φυλὴ τοῦ
Νεφθαλὶμ τοῦ πατρός μου ἀπέστη ἀπὸ τοῦ
οἴκου Ἱερουσολύμων, τῆς ἐκλεγείσης ἀπὸ
πασῶν τῶν φυλῶν Ἰσραὴλ εἰς τὸ θυσιάζειν
πάσας τὰς φυλάς· καὶ ἡγιάσθη ὁ ναὸς τῆς
κατασκηνώσεως τοῦ Ὑψίστου καὶ
ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.
5 καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι
ἔθυον τῇ Βάαλ τῇ δαμάλει καὶ ὁ οἶκος
Νεφθαλὶμ τοῦ πατρός μου.
6 κἀγὼ μόνος ἐπορευόμην πλεονάκις εἰς
Ἱεροσόλυμα ἐν ταῖς ἑορταῖς, καθὼς

---

* **1:1** ΚΑΤΑ ΤΟΥΣ ΚΩΔΙΚΕΣ Β' ΚΑΙ Α'

γέγραπται παντὶ τῷ Ἰσραὴλ ἐν προστάγματι
αἰωνίῳ, τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν
γεννημάτων καὶ τὰς πρωτοκουρίας ἔχων·
7 καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσι τοῖς υἱοῖς
Ἀαρὼν πρὸς τὸ θυσιαστήριον πάντων τῶν
γεννημάτων. τὴν δεκάτην ἐδίδουν τοῖς υἱοῖς
Λευὶ τοῖς θεραπεύουσιν εἰς Ἱερουσαλήμ, καὶ
τὴν δευτέραν δεκάτην ἀπεπρατιζόμην καὶ
ἐπορευόμην καὶ ἐδαπάνων αὐτὰ ἐν
Ἱεροσολύμοις καθ᾽ ἕκαστον ἐνιαυτόν.

8 καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει,
καθὼς ἐνετείλατο Δεββώρα ἡ μήτηρ τοῦ
πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ
τοῦ πατρός μου.
9 καὶ ὅτε ἐγενόμην ἀνήρ, ἔλαβον Ἄνναν
γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς ἡμῶν
καὶ ἐγέννησα ἐξ αὐτῆς Τωβίαν.
10 καὶ ὅτε ᾐχμαλωτίσθημεν εἰς Νινευῆ,
πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ γένους
μου ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν·
11 ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ
φαγεῖν,
12 καθότι ἐμεμνήμην τοῦ Θεοῦ ἐν ὅλῃ τῇ
ψυχῇ μου.
13 καὶ ἔδωκεν ὁ Ὕψιστος χάριν καὶ μορφὴν
ἐνώπιον Ἐνεμεσσάρου, καὶ ἤμην αὐτοῦ
ἀγοραστής·
14 καὶ ἐπορευόμην εἰς τὴν Μηδίαν καὶ
παρεθέμην Γαβαήλῳ τῷ ἀδελφῷ Γαβρία ἐν
Ράγοις τῆς Μηδίας ἀργυρίου τάλαντα δέκα.

15 Καὶ ὅτε ἀπέθανεν Ἐνεμεσσάρ,

ἐβασίλευσε Σενναχηρὶμ ὁ υἱὸς αὐτοῦ ἀντ᾽
αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκαταστάθησαν,
καὶ οὐκ ἔτι ἠδυνάσθην πορευθῆναι εἰς τὴν
Μηδίαν.
16 καὶ ἐν ταῖς ἡμέραις Ἐνεμεσσάρου
ἐλεημοσύνας πολλὰς ἐποίουν τοῖς ἀδελφοῖς
μου·
17 τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι
καὶ ἱμάτια τοῖς γυμνοῖς, καὶ εἴ τινα ἐκ τοῦ
γένους μου ἐθεώρουν τεθνηκότα καὶ
ἐρριμμένον ὀπίσω τοῦ τείχους Νινευῆ,
ἔθαπτον αὐτόν.
18 καὶ εἴ τινα ἀπέκτεινε Σενναχηρὶμ ὁ
βασιλεύς, ὅτε ἦλθε φεύγων ἐκ τῆς Ἰουδαίας,
ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ
ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ἐζητήθη
ὑπὸ τοῦ βασιλέως τὰ σώματα, καὶ οὐχ εὑρέθη.
19 πορευθεὶς δὲ εἷς τῶν ἐν Νινευῆ, ὑπέδειξε
τῷ βασιλεῖ περὶ ἐμοῦ ὅτι θάπτω αὐτούς, καὶ
ἐκρύβην· ἐπιγνοὺς δὲ ὅτι ζητοῦμαι
ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα.
20 καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου,
καὶ οὐ κατελείφθη μοι οὐδὲν πλὴν Ἄννας τῆς
γυναικός μου καὶ Τωβίου τοῦ υἱοῦ μου.
21 καὶ οὐ διῆλθον ἡμέρας πεντήκοντα, ἕως
οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο υἱοὶ αὐτοῦ καὶ
ἔφυγον εἰς τὰ ὄρη Ἀραράθ, καὶ ἐβασίλευσε
Σαχερδονὸς υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ, καὶ
ἔταξεν Ἀχιάχαρον τὸν Ἀναὴλ υἱὸν τοῦ
ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τῆς
βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν τήν
διοίκησιν.

22 καὶ ἠξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ
ἦλθον εἰς Νινευῆ. Ἀχιάχαρος δὲ ἦν ὁ
οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ
διοικητὴς καὶ ἐκλογιστής, καὶ κατέστησεν
αὐτὸν ὁ Σαχερδονὸς ἐκ δευτέρας· ἦν δὲ
ἐξάδελφός μου.

1 ΕΤΟΥΣ δωδεκάτου τῆς βασιλείας
Ναβουχοδονόσορ, ὃς ἐβασίλευσεν Ἀσσυρίων
ἐν Νινευῇ τῇ πόλει τῇ μεγάλῃ, ἐν ταῖς
ἡμέραις Ἀρφαξάδ, ὃς ἐβασίλευσεν Μήδων ἐν
Ἐκβατάνοις,
2 καὶ ᾠκοδόμησεν ἐπ᾿ Ἐκβατάνων κύκλῳ
τείχη ἐκ λίθων λελαξευμένων εἰς πλάτος
πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν ἓξ καὶ
ἐποίησε τὸ ὕψος τοῦ τείχους πηχῶν
ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτοῦ πηχῶν
πεντήκοντα
3 καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐπὶ ταῖς
πύλαις αὐτῆς πηχῶν ἑκατὸν καὶ τὸ πλάτος
αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξήκοντα
4 καὶ ἐποίησε τὰς πύλας αὐτῆς πύλας
διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομήκοντα
καὶ τὸ πλάτος αὐτῶν πήχεις τεσσαράκοντα
εἰς ἐξόδους δυνάμεων δυνατῶν αὐτοῦ καὶ
διατάξεις τῶν πεζῶν αὐτοῦ.
5 καὶ ἐποίησε πόλεμον ἐν ταῖς ἡμέραις
ἐκείναις ὁ βασιλεὺς Ναβουχοδονόσορ πρὸς
βασιλέα Ἀρφαξὰδ ἐν τῷ πεδίῳ τῷ μεγάλῳ,
τοῦτό ἐστιν ἐν τοῖς ὁρίοις Ραγαῦ.
6 καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ
κατοικοῦντες τὴν ὀρεινὴν καὶ πάντες οἱ

κατοικοῦντες τὸν Εὐφράτην καὶ τὸν Τίγριν
καὶ τὸν Ὑδάσπην καὶ πεδία Ἀριὼχ βασιλέως
Ἐλυμαίων· καὶ συνῆλθον ἔθνη πολλὰ σφόδρα
εἰς παράταξιν υἱῶν Χελεούδ.
7 καὶ ἀπέστειλε Ναβουχοδονόσορ ὁ
βασιλεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς
κατοικοῦντας τὴν Περσίδα καὶ ἐπὶ πάντας
τοὺς κατοικοῦντας πρὸς δυσμαῖς, τοὺς
κατοικοῦντας Κιλικίαν καὶ Δαμασκόν, τὸν
Λίβανον καὶ Ἀντιλίβανον, καὶ πάντας τοὺς
κατοικοῦντας κατὰ πρόσωπον παραλίας
8 καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρμήλου καὶ
Γαλαὰδ καὶ τὴν ἄνω Γαλιλαίαν καὶ τὸ μέγα
πεδίον Ἐσδρηλὼν
9 καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς
πόλεσιν αὐτῆς καὶ πέραν τοῦ Ἰορδάνου ἕως
Ἱερουσαλὴμ καὶ Βετάνη καὶ Χελλοὺς καὶ
Κάδης καὶ τοῦ ποταμοῦ Αἰγύπτου καὶ Ταφνὰς
καὶ Ραμεσσὴ καὶ πᾶσαν γῆν Γεσὲμ
10 ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ
Μέμφεως καὶ πάντας τοὺς κατοικοῦντας τὴν
Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῆς
Αἰθιοπίας.
11 καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες
πᾶσαν τὴν γῆν τὸ ρῆμα Ναβουχοδονόσορ τοῦ
βασιλέως Ἀσσυρίων καὶ οὐ συνῆλθον αὐτῷ
εἰς τὸν πόλεμον, ὅτι οὐκ ἐφοβήθησαν αὐτόν,
ἀλλ᾽ ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ εἷς, καὶ
ἀνέστρεψαν τοὺς ἀγγέλους αὐτοῦ κενοὺς ἐν
ἀτιμίᾳ προσώπου αὐτῶν.
12 καὶ ἐθυμώθη Ναβουχοδονόσορ ἐπὶ πᾶσαν
τὴν γῆν ταύτην σφόδρα καὶ ὤμοσε κατὰ τοῦ

θρόνου καὶ τῆς βασιλείας αὐτοῦ, εἰ μὴν
ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλικίας καὶ
Δαμασκηνῆς καὶ Συρίας, ἀνελεῖν τῇ ρομφαίᾳ
αὐτοῦ καὶ πάντας τοὺς κατοικοῦντας ἐν γῇ
Μωὰβ καὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ πᾶσαν τὴν
Ἰουδαίαν καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως
τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῶν δύο θαλασσῶν.
13 καὶ παρετάξατο ἐν τῇ δυνάμει αὐτοῦ
πρὸς Ἀρφαξὰδ βασιλέα ἐν τῷ ἔτει τῷ
ἑπτακαιδεκάτῳ καὶ ἐκραταιώθη ἐν τῷ
πολέμῳ αὐτοῦ καὶ ἀνέστρεψε πᾶσαν τὴν
δύναμιν Ἀρφαξὰδ καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ
καὶ πάντα τὰ ἅρματα αὐτοῦ
14 καὶ ἐκυρίευσε τῶν πόλεων αὐτοῦ καὶ
ἀφίκετο ἕως Ἐκβατάνων καὶ ἐκράτησε τῶν
πύργων καὶ ἐπρονόμευσε τὰς πλατείας αὐτῆς
καὶ τὸν κόσμον αὐτῆς ἔθηκεν εἰς ὄνειδος
αὐτῆς.
15 καὶ ἔλαβε τὸν Ἀρφαξὰδ ἐν τοῖς ὄρεσι
Ραγαῦ καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς
ζιβύναις αὐτοῦ καὶ ἐξωλόθρευσεν αὐτὸν ἕως
τῆς ἡμέρας ἐκείνης.
16 καὶ ἀνέστρεψε μετ᾿ αὐτῶν αὐτὸς καὶ πᾶς
ὁ σύμμικτος αὐτοῦ, πλῆθος ἀνδρῶν
πολεμιστῶν πολὺ σφόδρα· καὶ ἦν ἐκεῖ
ραθυμῶν καὶ εὐωχούμενος αὐτὸς καὶ ἡ
δύναμις αὐτοῦ ἐφ᾿ ἡμέρας ἑκατὸν εἴκοσι.

# 2

1 ΟΤΕ δὲ κατῆλθον εἰς τὸν οἶκόν μου καὶ
ἀπεδόθη μοι Ἄννα ἡ γυνή μου, καὶ Τωβίας ὁ
υἱός μου, ἐν τῇ πεντηκοστῇ ἑορτῇ, ἥ ἐστιν

ἁγίᾳ ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον
καλόν μοι, καὶ ἀνέπεσα τοῦ φαγεῖν.
2 καὶ ἐθεασάμην ὄψα πολλὰ καὶ εἶπα τῷ
υἱῷ μου· βάδισον καὶ ἄγαγε ὃν ἂν εὕρῃς τῶν
ἀδελφῶν ἡμῶν ἐνδεῆ, ὃς μέμνηται τοῦ
Κυρίου, καὶ ἰδοὺ μένω σε.
3 καὶ ἐλθὼν εἶπε· πάτερ, εἷς ἐκ τοῦ γένους
ἡμῶν ἐστραγγαλωμένος ἔρριπται ἐν τῇ
ἀγορᾷ.
4 κἀγὼ πρὶν ἢ γεύσασθαί με, ἀναπηδήσας
ἀνειλόμην αὐτὸν εἴς τι οἴκημα, ἕως οὗ ἔδυ ὁ
ἥλιος.
5 καὶ ἐπιστρέψας ἐλουσάμην καὶ ἤσθιον
τὸν ἄρτον μου ἐν λύπῃ·
6 καὶ ἐμνήσθην τῆς προφητείας Ἀμώς,
καθὼς εἶπε· στραφήσονται αἱ ἑορταὶ ὑμῶν
εἰς πένθος καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς
θρῆνον,
7 καὶ ἔκλαυσα. καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην
καὶ ὀρύξας ἔθαψα αὐτόν.
8 καὶ οἱ πλησίον ἐπεγέλων λέγοντες· οὐκ
ἔτι φοβεῖται φονευθῆναι περὶ τοῦ πράγματος
τούτου, καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει
τοὺς νεκρούς.
9 καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας καὶ
ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς
αὐλῆς, καὶ τὸ πρόσωπόν μου ἀκάλυπτον ἦν.
10 καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ
ἐστί, καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων,
ἀφώδευσαν τὰ στρουθία θερμὸν εἰς τοὺς
ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώματα ἐν

τοῖς ὀφθαλμοῖς μου. καὶ ἐπορεύθην πρὸς
ἰατρούς, καὶ οὐκ ὠφέλησάν με· Ἀχιάχαρος δὲ
ἔτρεφέ με, ἕως οὗ ἐπορεύθην εἰς τὴν
Ἐλυμαΐδα.
11 καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο ἐν τοῖς
γυναικείοις·
12 καὶ ἀπέστελλε τοῖς κυρίοις, καὶ
ἀπέδωκαν αὐτῇ καὶ αὐτοὶ τὸν μισθὸν
προσδόντες καὶ ἔριφον.
13 ὅτε δὲ ἦλθε πρός με, ἤρξατο κράζειν· καὶ
εἶπα αὐτῇ· πόθεν τὸ ἐρίφιον; μὴ κλεψιμαῖόν
ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις· οὐ γὰρ
θεμιτόν ἐστι φαγεῖν κλεψιμαῖον.
14 ἡ δὲ εἶπε· δῶρον δέδοταί μοι ἐπὶ τῷ
μισθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ καὶ ἔλεγον
ἀποδιδόναι αὐτὸ τοῖς κυρίοις καί ἠρυθρίων
πρὸς αὐτήν· ἡ δὲ ἀποκριθεῖσα εἶπέ μοι· ποῦ
εἰσιν αἱ ἐλεημοσύναι σου καὶ αἱ δικαιοσύναι
σου; ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ.

# 2

1 ΚΑΙ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ,
δευτέρᾳ καὶ εἰκάδι τοῦ πρώτου μηνός,
ἐγένετο λόγος ἐν οἴκῳ Ναβουχοδονόσορ
βασιλέως Ἀσσυρίων ἐκδικῆσαι πᾶσαν τὴν
γῆν καθὼς ἐλάλησε.
2 καὶ συνεκάλεσε πάντας τοὺς θεράποντας
αὐτοῦ καὶ πάντας τοὺς μεγιστᾶνας αὐτοῦ
καὶ ἔθετο μετ᾿ αὐτῶν τὸ μυστήριον τῆς
βουλῆς αὐτοῦ καὶ συνετέλεσε πᾶσαν τὴν
κακίαν τῆς γῆς ἐκ τοῦ στόματος αὐτοῦ.

3 καὶ αὐτοὶ ἔκριναν ὀλοθρεῦσαι πᾶσαν
σάρκα, οἳ οὐκ ἠκολούθησαν τῷ λόγῳ τοῦ
στόματος αὐτοῦ.
4 καὶ ἐγένετο ὡς συνετέλεσε τὴν βουλὴν
αὐτοῦ, ἐκάλεσε Ναβουχοδονόσορ βασιλεὺς
Ἀσσυρίων τὸν Ὀλοφέρνην ἀρχιστράτηγον τῆς
δυνάμεως αὐτοῦ, δεύτερον ὄντα μετ᾽ αὐτόν,
καὶ εἶπε πρὸς αὐτόν·
5 τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύριος
πάσης τῆς γῆς· ἰδοὺ σὺ ἐξελεύσῃ ἐκ τοῦ
προσώπου μου καὶ λήψῃ μετὰ σεαυτοῦ
ἄνδρας πεποιθότας ἐν ἰσχύϊ αὐτῶν, πεζῶν
εἰς χιλιάδας ἑκατὸν εἴκοσι καὶ πλῆθος ἵππων
σὺν ἀναβάταις μυριάδων δεκαδύο,
6 καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ
ἐπὶ δυσμάς, ὅτι ἠπείθησαν τῷ ρήματι τοῦ
στόματός μου.
7 καὶ ἀπαγγελεῖς αὐτοῖς ἑτοιμάζειν γῆν καὶ
ὕδωρ. ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου ἐπ᾽
αὐτοὺς καὶ καλύψω πᾶν τὸ πρόσωπον τῆς
γῆς ἐν τοῖς ποσὶ τῆς δυνάμεώς μου καὶ δώσω
αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς·
8 καὶ οἱ τραυματίαι αὐτῶν πληρώσουσι τὰς
φάραγγας καὶ τοὺς χειμάρρους αὐτῶν, καὶ
ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐτῶν
πληρωθήσεται·
9 καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ
ἄκρα πάσης τῆς γῆς.
10 σὺ δὲ ἐξελθὼν προκαταλήψῃ μοι πᾶν
ὅριον αὐτῶν, καὶ ἐκδώσουσί σοι ἑαυτούς, καὶ
διατηρήσεις ἐμοὶ αὐτοὺς εἰς ἡμέραν ἐλεγμοῦ

αὐτῶν·
11 ἐπὶ δὲ τοὺς ἀπειθοῦντας οὐ φείσεται ὁ
ὀφθαλμός σου τοῦ δοῦναι αὐτοὺς εἰς φόνον
καὶ ἁρπαγὴν ἐν πάσῃ τῇ γῇ σου.
12 ὅτι ζῶν ἐγὼ καὶ τὸ κράτος τῆς βασιλείας
μου, λελάληκα καὶ ποιήσω ταῦτα ἐν χειρί
μου.
13 καὶ σὺ δὲ οὐ παραβήσῃ ἕν τι τῶν
ρημάτων τοῦ κυρίου σου, ἀλλ᾽ ἐπιτελῶν
ἐπιτελέσεις καθότι προστέταχά σοι, καὶ οὐ
μακρυνεῖς τοῦ ποιῆσαι αὐτά.
14 καὶ ἐξῆλθεν Ὀλοφέρνης ἀπὸ προσώπου
τοῦ κυρίου αὐτοῦ καὶ ἐκάλεσε πάντας τοὺς
δυνάστας καὶ τοὺς στρατηγοὺς καὶ
ἐπιστάτας τῆς δυνάμεως Ἀσσοὺρ
15 καὶ ἠρίθμησεν ἐκλεκτοὺς ἄνδρας εἰς
παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ ὁ κύριος
αὐτοῦ εἰς μυριάδας δεκαδύο καὶ ἱππεῖς
τοξότας μυρίους δισχιλίους,
16 καὶ διέταξεν αὐτοὺς ὃν τρόπον πολέμου
πλῆθος συντάσσεται.
17 καὶ ἔλαβε καμήλους καὶ ὄνους καὶ
ἡμιόνους εἰς τὴν ἀπαρτίαν αὐτῶν, πλῆθος
πολὺ σφόδρα, καὶ πρόβατα καὶ βόας καὶ
αἶγας εἰς τὴν παρασκευὴν αὐτῶν, ὧν οὐκ ἦν
ἀριθμός,
18 καὶ ἐπισιτισμὸν παντὶ ἀνδρὶ εἰς πλῆθος
καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου βασιλέως
πολὺ σφόδρα.
19 καὶ ἐξῆλθεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις
αὐτοῦ εἰς πορείαν τοῦ προελθεῖν βασιλέως
Ναβουχοδονόσορ καὶ καλύψαι πᾶν τὸ

πρόσωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι
καὶ ἱππεῦσι καὶ πεζοῖς ἐπιλέκτοις αὐτῶν.
20 καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς
συνεξῆλθον αὐτοῖς καὶ ὡς ἡ ἄμμος τῆς γῆς·
οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ πλήθους αὐτῶν.
21 καὶ ἀπῆλθον ἐκ Νινευῆ ὁδὸν τριῶν
ἡμερῶν ἐπὶ πρόσωπον τοῦ πεδίου Βεκτιλὲθ
καὶ ἐστρατοπέδευσαν ἀπὸ Βεκτιλὲθ πλησίον
τοῦ ὄρους τοῦ ἐπ᾽ ἀριστερᾷ τῆς ἄνω
Κιλικίας.
22 καὶ ἔλαβε πᾶσαν τὴν δύναμιν αὐτοῦ,
τοὺς πεζοὺς καὶ τοὺς ἱππεῖς καὶ τὰ ἅρματα
αὐτοῦ, καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν ὀρεινήν.
23 καὶ διέκοψε τὸ Φοὺδ καὶ Λοὺδ καὶ
ἐπρονόμευσαν πάντας υἱοὺς Ρασσὶς καὶ
υἱοὺς Ἰσμαὴλ τοὺς κατὰ πρόσωπον τῆς
ἐρήμου πρὸς νότον τῆς Χελεών.
24 καὶ παρῆλθε τὸν Εὐφράτην καὶ διῆλθε
τὴν Μεσοποταμίαν καὶ διέσκαψε πάσας τὰς
πόλεις τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάρρου
Ἀβρωνᾶ ἕως τοῦ ἐλθεῖν ἐπὶ θάλασσαν.
25 καὶ κατελάβετο τὰ ὅρια τῆς Κιλικίας καὶ
κατέκοψε πάντας τοὺς ἀντιστάντας αὐτῷ
καὶ ἦλθεν ἕως ὁρίων Ἰάφεθ τὰ πρὸς νότον
κατὰ πρόσωπον τῆς Ἀραβίας.
26 καὶ ἐκύκλωσε πάντας τοὺς υἱοὺς Μαδιὰμ
καὶ ἐνέπρησε τὰ σκηνώματα αὐτῶν καὶ
ἐπρονόμευσε τὰς μάνδρας αὐτῶν.
27 καὶ κατέβη εἰς πεδίον Δαμασκοῦ ἐν
ἡμέραις θερισμοῦ πυρῶν καὶ ἐνέπρησε
πάντας τοὺς ἀγροὺς αὐτῶν καὶ τὰ ποίμνια

καὶ τὰ βουκόλια ἔδωκεν εἰς ἀφανισμὸν καὶ
τὰς πόλεις αὐτῶν ἐσκύλευσε καὶ τὰ παιδία
αὐτῶν ἐξελίκμησε καὶ ἐπάταξε πάντας τοὺς
νεανίσκους αὐτῶν ἐν στόματι ρομφαίας.
28 καὶ ἐπέπεσεν ὁ φόβος καὶ ὁ τρόμος αὐτοῦ
ἐπὶ τοὺς κατοικοῦντας τὴν παραλίαν, τοὺς
ὄντας ἐν Σιδῶνι καὶ Τύρῳ καὶ τοὺς
κατοικοῦντας Σοὺρ καὶ Ὀκινά, καὶ πάντας
τοὺς κατοικοῦντας Ἰεμναάν, καὶ οἱ
κατοικοῦντες ἐν Ἀζώτῳ καὶ Ἀσκάλωνι
ἐφοβήθησαν αὐτὸν σφόδρα.

# 3

1 ΚΑΙ λυπηθεὶς ἔκλαυσα καὶ προσευξάμην
μετ᾿ ὀδύνης λέγων·
2 δίκαιος εἶ, Κύριε, καὶ πάντα τὰ ἔργα σου
καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύναι καὶ
ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ
κρίνεις εἰς τὸν αἰῶνα.
3 μνήσθητί μου καὶ ἐπίβλεψον ἐπ᾿ ἐμέ· μή
με ἐκδικήσῃς ταῖς ἁμαρτίαις μου καὶ τοῖς
ἀγνοήμασί μου καὶ τῶν πατέρων μου, ἃ
ἥμαρτον ἐνώπιόν σου·
4 παρήκουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ
ἔδωκας ἡμᾶς εἰς διαρπαγὴν καὶ αἰχμαλωσίαν
καὶ θάνατον καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσι
τοῖς ἔθνεσιν, ἐν οἷς ἐσκορπίσμεθα.
5 καὶ νῦν πολλαὶ αἱ κρίσεις σού εἰσι καὶ
ἀληθιναὶ ἐξ ἐμοῦ ποιῆσαι περὶ τῶν ἁμαρτιῶν
μου καὶ τῶν πατέρων μου, ὅτι οὐκ
ἐποιήσαμεν τὰς ἐντολάς σου· οὐ γὰρ
ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου.

6 καὶ νῦν κατὰ τὸ ἀρεστὸν ἐνώπιόν σου
ποίησον μετʼ ἐμοῦ· ἐπίταξον ἀναλαβεῖν τὸ
πνεῦμά μου, ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ·
διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι
ὀνειδισμοὺς ψευδεῖς ἤκουσα, καὶ λύπη ἐστὶ
πολλὴ ἐν ἐμοί· ἐπίταξον ἀπολυθῆναί με τῆς
ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον τόπον, μὴ
ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ ʼ ἐμοῦ.
7 Ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ
Ραγουὴλ Σάρρᾳ ἐν Ἐκβατάνοις τῆς Μηδίας
καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδισκῶν
πατρὸς αὐτῆς,
8 ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτά, καὶ
Ἀσμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινεν
αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετʼ αὐτῆς
ὡς ἐν γυναιξί. καὶ εἶπαν αὐτῇ· οὐ συνιεῖς
ἀποπνίγουσά σου τοὺς ἄνδρας; ἤδη ἑπτὰ
ἔσχες καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης·
9 τί ἡμᾶς μαστιγοῖς; εἰ ἀπέθαναν, βάδιζε
μετʼ αὐτῶν· μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγατέρα
εἰς τὸν αἰῶνα.
10 ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα ὥστε
ἀπάγξασθαι. καὶ εἶπε· μία μέν εἰμι τῷ πατρί
μου· ἐὰν ποιήσω τοῦτο, ὄνειδος αὐτῷ ἔσται,
καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετʼ ὀδύνης εἰς
ᾅδου.
11 καὶ ἐδεήθη πρὸς τῇ θυρίδι καὶ εἶπεν·
εὐλογητὸς εἶ, Κύριε ὁ Θεός μου, καὶ
εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ
ἔντιμον εἰς τοὺς αἰῶνας· εὐλογήσαισάν σε
πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα.

12 καὶ νῦν, Κύριε, τοὺς ὀφθαλμούς μου καὶ
τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα·
13 εἰπὸν ἀπολῦσαί με ἀπὸ τῆς γῆς καὶ μὴ
ἀκοῦσαί με μηκέτι ὀνειδισμόν.
14 σὺ γινώσκεις, Κύριε, ὅτι καθαρά εἰμι ἀπὸ
πάσης ἁμαρτίας ἀνδρὸς
15 καὶ οὐκ ἐμόλυνα τὸ ὄνομά μου οὐδὲ τὸ
ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς
αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί
μου, καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον, ὃ
κληρονομήσει αὐτόν, οὐδὲ ἀδελφὸς ἐγγὺς
οὐδὲ ὑπάρχων αὐτῷ υἱός, ἵνα συντηρήσω
ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι
ἑπτά· ἵνα τί μοι ζῆν; καὶ εἰ μὴ δοκεῖ σοι
ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ᾿ ἐμὲ
καὶ ἐλεῆσαί με καὶ μηκέτι ἀκοῦσαί με
ὀνειδισμόν.
16 Καὶ εἰσηκούσθη προσευχὴ ἀμφοτέρων
ἐνώπιον τῆς δόξης τοῦ μεγάλου Ραφαήλ,
17 καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ
Τωβὶτ λεπίσαι τὰ λευκώματα καὶ Σάρραν τὴν
τοῦ Ραγουὴλ δοῦναι Τωβίᾳ τῷ υἱῷ Τωβὶτ
γυναῖκα καὶ δῆσαι Ἀσμοδαῖον τὸ πονηρὸν
δαιμόνιον, διότι Τωβίᾳ ἐπιβάλλει
κληρονομῆσαι αὐτήν. ἐν αὐτῷ τῷ καιρῷ
ἐπιστρέψας Τωβὶτ εἰσῆλθεν εἰς τὸν οἶκον
αὐτοῦ καὶ Σάρρα ἡ τοῦ Ραγουὴλ κατέβη ἐκ
τοῦ ὑπερῴου αὐτῆς.

# 3

1 ΚΑΙ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους
λόγοις εἰρηνικοῖς λέγοντες·

2 ἰδοὺ ἡμεῖς οἱ παῖδες Ναβουχοδονόσορ
βασιλέως μεγάλου παρακείμεθα ἐνώπιόν
σου, χρῆσαι ἡμῖν καθὼς ἀρεστόν ἐστι τῷ
προσώπῳ σου·
3 ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν καὶ πᾶν πεδίον
πυρῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ
πᾶσαι αἱ μάνδραι τῶν σκηνῶν ἡμῶν
παράκεινται πρὸ προσώπου σου, χρῆσαι καθ᾿
ὃν ἂν ἀρέσκῃ σοι.
4 ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ οἱ
κατοικοῦντες ἐν αὐταῖς δοῦλοί σού εἰσιν·
ἐλθὼν ἀπάντησον αὐταῖς ὡς ἔστιν ἀγαθὸν ἐν
ὀφθαλμοῖς σου.
5 καὶ παρεγένοντο οἱ ἄνδρες πρὸς
Ὀλοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ
ρήματα ταῦτα.
6 καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ
δύναμις αὐτοῦ καὶ ἐφρούρησε τὰς πόλεις τὰς
ὑψηλὰς καὶ ἔλαβεν ἐξ αὐτῶν εἰς συμμαχίαν
ἄνδρας ἐπιλέκτους·
7 καὶ ἐδέξαντο αὐτὸν αὐτοὶ καὶ πᾶσα ἡ
περίχωρος αὐτῶν μετὰ στεφάνων καὶ χορῶν
καὶ τυμπάνων.
8 καὶ κατέσκαψε πάντα τὰ ὅρια αὐτῶν καὶ
τὰ ἄλση αὐτῶν ἐξέκοψε, καὶ ἦν δεδομένον
αὐτῷ ἐξολοθρεῦσαι πάντας τοὺς θεοὺς τῆς
γῆς, ὅπως αὐτῷ μόνῳ τῷ Ναβουχοδονόσορ
λατρεύσωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι αἱ
γλῶσσαι καὶ πᾶσαι αἱ φυλαὶ αὐτῶν
ἐπικαλέσωνται αὐτὸν εἰς θεόν.
9 καὶ ἦλθε κατὰ πρόσωπον Ἐσδρηλὼν

πλησίον τῆς Δωταίας, ἥ ἐστιν ἀπέναντι τοῦ
πρίονος τοῦ μεγάλου τῆς Ἰουδαίας,
10 καὶ κατεστρατοπέδευσεν ἀνὰ μέσον
Γαβαὶ καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ μῆνα
ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν
τῆς δυνάμεως αὐτοῦ.

# 4

1 ΕΝ τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβὶτ περὶ
τοῦ ἀργυρίου, οὗ παρέθετο Γαβαὴλ ἐν Ράγοις
τῆς Μηδίας,
2 καὶ εἶπεν ἐν ἑαυτῷ· ἐγὼ ᾐτησάμην
θάνατον, τί οὐ καλῶ Τωβίαν τὸν υἱόν μου,
ἵνα αὐτῷ ὑποδείξω πρὶν ἀποθανεῖν με;
3 καὶ καλέσας αὐτὸν εἶπε· παιδίον, ἐὰν
ἀποθάνω, θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν
μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας
τῆς ζωῆς σου καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ καὶ
μὴ λυπήσῃς αὐτήν.
4 μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους
ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ· ὅταν ἀποθάνῃ,
θάψον αὐτὴν παρ᾿ ἐμοὶ ἐν ἑνὶ τάφῳ.
5 πάσας τὰς ἡμέρας, παιδίον, Κυρίου τοῦ
Θεοῦ ἡμῶν μνημόνευε καὶ μὴ θελήσῃς
ἁμαρτάνειν καὶ παραβῆναι τὰς ἐντολὰς
αὐτοῦ. δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας
τῆς ζωῆς σου καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς
ἀδικίας·
6 διότι ποιοῦντός σου τὴν ἀλήθειαν,
εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου καὶ πᾶσι
τοῖς ποιοῦσι τὴν δικαιοσύνην.

7 ἐκ τῶν ὑπαρχόντων σοι ποίει
ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ
ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην· μὴ
ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς
πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ
πρόσωπον τοῦ Θεοῦ.
8 ὡς σοὶ ὑπάρχει κατὰ τὸ πλῆθος, ποίησον
ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι
ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν
ἐλεημοσύνην·
9 θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς
ἡμέραν ἀνάγκης·
10 διότι ἐλεημοσύνη ἐκ θανάτου ρύεται καὶ
οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος·
11 δῶρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη
πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ
Ὑψίστου.
12 πρόσεχε σεαυτῷ, παιδίον, ἀπὸ πάσης
πορνείας καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ
σπέρματος τῶν πατέρων σου· μὴ λάβῃς
γυναῖκα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς
τοῦ πατρός σου, διότι υἱοὶ προφητῶν ἐσμεν.
Νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, οἱ πατέρες ἡμῶν
ἀπὸ τοῦ αἰῶνος· μνήσθητι, παιδίον, ὅτι αὐτοὶ
πάντες ἔλαβον γυναῖκας ἐκ τῶν ἀδελφῶν
αὐτῶν καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις
αὐτῶν, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει
γῆν.
13 καὶ νῦν, παιδίον, ἀγάπα τοὺς ἀδελφούς
σου καὶ μὴ ὑπερηφανεύου τῇ καρδίᾳ σου ἀπὸ
τῶν ἀδελφῶν σου καὶ τῶν υἱῶν καὶ
θυγατέρων τοῦ λαοῦ σου λαβεῖν σεαυτῷ ἐξ

αὐτῶν γυναῖκα· διότι ἐν τῇ ὑπερηφανίᾳ
ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ
ἀχρειότητι ἐλάττωσις καὶ ἔνδεια μεγάλη· ἡ
γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ λιμοῦ.
14 μισθὸς παντὸς ἀνθρώπου, ὃς ἐὰν
ἐργάσηται παρὰ σοί, μὴ αὐλισθήτω, ἀλλ᾿
ἀπόδος αὐτῷ παραυτίκα, καὶ ἐὰν δουλεύσῃς
τῷ Θεῷ, ἀποδοθήσεταί σοι. πρόσεχε σεαυτῷ,
παιδίον, ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἴσθι
πεπαιδευμένος ἐν πάσῃ ἀναστροφῇ σου.

15 καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. οἶνον εἰς
μέθην μὴ πίῃς, καὶ μὴ πορευθήτω μετὰ σοῦ
μέθη ἐν τῇ ὁδῷ σου.
16 ἐκ τοῦ ἄρτου σου δίδου πεινῶντι καὶ ἐκ
τῶν ἱματίων σου τοῖς γυμνοῖς· πᾶν, ὃ ἐὰν
περισσεύσῃ σοι, ποίει ἐλεημοσύνην, καὶ μὴ
φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε
ἐλεημοσύνην.
17 ἔκχεον τοὺς ἄρτους σου ἐπὶ τὸν τάφον
τῶν δικαίων καὶ μὴ δῷς τοῖς ἁμαρτωλοῖς.
18 συμβουλίαν παρὰ παντὸς φρονίμου
ζήτησον καὶ μὴ καταφρονήσῃς ἐπί πάσης
συμβουλίας χρησίμης.
19 καὶ ἐν παντὶ καιρῷ εὐλόγει Κύριον τὸν
Θεὸν καὶ παρ᾿ αὐτοῦ αἴτησον, ὅπως αἱ ὁδοί
σου εὐθεῖαι γένωνται, καὶ πᾶσαι αἱ τρίβοι
καὶ βουλαί σου εὐοδωθῶσι· διότι πᾶν ἔθνος
οὐκ ἔχει βουλήν, ἀλλ᾿ αὐτὸς ὁ Κύριος δίδωσι
πάντα τὰ ἀγαθὰ καὶ ὃν ἐὰν θέλῃ, ταπεινοῖ,
καθὼς βούλεται. καὶ νῦν, παιδίον, μνημόνευε
τῶν ἐντολῶν μου, καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ

τῆς καρδίας σου.
20 καὶ νῦν ὑποδεικνύω σοι τὰ δέκα τάλαντα
τοῦ ἀργυρίου, ἃ παρεθέμην Γαβαήλῳ τῷ τοῦ
Γαβρία ἐν Ράγοις τῆς Μηδίας.
21 καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτωχεύσαμεν·
ὑπάρχει σοι πολλά, ἐὰν φοβηθῇς τὸν Θεόν,
καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας καὶ
ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.

# 4

1 ΚΑΙ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ
κατοικοῦντες ἐν τῇ Ἰουδαίᾳ πάντα, ὅσα
ἐποίησεν Ὀλοφέρνης τοῖς ἔθνεσιν, ὁ
ἀρχιστράτηγος Ναβουχοδονόσορ βασιλέως
Ἀσσυρίων, καὶ ὃν τρόπον ἐσκύλευσε πάντα
τὰ ἱερὰ αὐτῶν καὶ ἔδωκεν αὐτὰ εἰς
ἀφανισμόν,
2 καὶ ἐφοβήθησαν σφόδρα σφόδρα ἀπὸ
προσώπου αὐτοῦ καὶ περὶ Ἱερουσαλὴμ καὶ
τοῦ ναοῦ Κυρίου Θεοῦ αὐτῶν ἐταράχθησαν.
3 ὅτι προσφάτως ἦσαν ἀναβεβηκότες ἐκ τῆς
αἰχμαλωσίας, καὶ νεωστὶ πᾶς ὁ λαὸς
συνελέλεκτο τῆς Ἰουδαίας, καὶ τὰ σκεύη καὶ
τὸ θυσιαστήριον καὶ ὁ οἶκος ἐκ τῆς
βεβηλώσεως ἡγιασμένα ἦν.
4 καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον Σαμαρείας
καὶ Κωνὰ καὶ Βαιθωρὼν καὶ Βελμαὶν καὶ
Ἱεριχὼ καὶ εἰς Χωβὰ καὶ Αἰσωρὰ καὶ τὸν
αὐλῶνα Σαλὴμ
5 καὶ προκατελάβοντο πάσας τὰς κορυφὰς
τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐτειχίσαντο τὰς
ἐν αὐτοῖς κώμας καὶ παρέθεντο εἰς

ἐπισιτισμὸν εἰς παρασκευὴν πολέμου, ὅτι
προσφάτως ἦν τὰ πεδία αὐτῶν τεθερισμένα.
6 καὶ ἔγραψεν Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας, ὃς
ἦν ἐν ταῖς ἡμέραις ἐκείναις ἐν Ἱερουσαλήμ,
τοῖς κατοικοῦσι Βαιτυλούα καὶ
Βαιτομεσθαίμ, ἥ ἐστιν ἀπέναντι Ἐσδρηλὼν
κατὰ πρόσωπον τοῦ πεδίου τοῦ πλησίον
Δωθαΐμ,
7 λέγων διακατασχεῖν τὰς ἀναβάσεις τῆς
ὀρεινῆς, ὅτι δι᾿ αὐτῶν ἦν ἡ εἴσοδος εἰς τὴν
Ἰουδαίαν, καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς
προσβαίνοντας, στενῆς τῆς προσβάσεως
οὔσης ἐπ᾿ ἄνδρας τοὺς πάντας δύο.
8 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ
συνέταξεν αὐτοῖς Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας
καὶ ἡ γερουσία παντὸς δήμου Ἰσραήλ, οἳ
ἐκάθηντο ἐν Ἱερουσαλήμ.
9 καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ἰσραὴλ πρὸς τὸν
Θεὸν ἐν ἐκτενίᾳ μεγάλῃ καὶ ἐταπεινοῦσαν
τὰς ψυχὰς αὐτῶν ἐν ἐκτενίᾳ μεγάλῃ.
10 αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ
νήπια αὐτῶν καὶ τὰ κτήνη αὐτῶν καὶ πᾶς
πάροικος ἢ μισθωτὸς καὶ ἀργυρώνητος
αὐτῶν ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας
αὐτῶν.
11 καὶ πᾶς ἀνὴρ Ἰσραὴλ καὶ γυνὴ καὶ τὰ
παιδία καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ
ἔπεσον κατὰ πρόσωπον τοῦ ναοῦ καὶ
ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν καὶ
ἐξέτειναν τοὺς σάκκους αὐτῶν κατὰ
πρόσωπον Κυρίου·

12 καὶ τὸ θυσιαστήριον σάκκῳ περιέβαλον
καὶ ἐβόησαν πρὸς τὸν Θεὸν Ἰσραὴλ
ὁμοθυμαδὸν ἐκτενῶς τοῦ μὴ δοῦναι εἰς
διαρπαγὴν τὰ νήπια αὐτῶν καὶ τὰς γυναῖκας
εἰς προνομὴν καὶ τὰς πόλεις τῆς
κληρονομίας αὐτῶν εἰς ἀφανισμὸν καὶ τὰ
ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμόν, ἐπίχαρμα
τοῖς ἔθνεσι.
13 καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῶν
καὶ εἰσεῖδε τὴν θλῖψιν αὐτῶν· καὶ ἦν ὁ λαὸς
νηστεύων ἡμέρας πλείους ἐν πάσῃ τῇ
Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν
ἁγίων Κυρίου παντοκράτορος.
14 καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες
οἱ παρεστηκότες ἐνώπιον Κυρίου, ἱερεῖς καὶ
οἱ λειτουργοῦντες Κυρίῳ, σάκκους
περιεζωσμένοι τὰς ὀσφύας αὐτῶν
προσέφερον τὴν ὁλοκαύτωσιν τοῦ
ἐνδελεχισμοῦ καὶ τὰς εὐχὰς καὶ τὰ ἑκούσια
δόματα τοῦ λαοῦ,
15 καὶ ἦν σποδὸς ἐπὶ τὰς κιδάρεις αὐτῶν.
καὶ ἐβόων πρὸς Κύριον ἐκ πάσης δυνάμεως
εἰς ἀγαθὸν ἐπισκέψασθαι πάντα οἶκον
Ἰσραήλ.

# 5

1 ΚΑΙ ἀποκριθεὶς Τωβίας εἶπεν αὐτῷ· πάτερ,
ποιήσω πάντα, ὅσα ἐντέταλσαί μοι·
2 ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον
καὶ οὐ γινώσκω αὐτόν;

3 καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον καὶ
εἶπεν αὐτῷ· ζήτησον σεαυτῷ ἄνθρωπον, ὃς
συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ μισθὸν
ἕως ζῶ· καὶ λαβὲ πορευθεὶς τὸ ἀργύριον.
4 καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον καὶ εὗρε
τὸν Ραφαήλ, ὃς ἦν ἄγγελος, καὶ οὐκ ᾔδει·
5 καὶ εἶπεν αὐτῷ· εἰ δύναμαι πορευθῆναι
μετὰ σοῦ ἐν Ράγοις τῆς Μηδίας, καὶ εἰ
ἔμπειρος εἶ τῶν τόπων;
6 καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· πορεύσομαι
μετὰ σοῦ καὶ τῆς ὁδοῦ ἐμπειρῶ καὶ παρὰ
Γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην.
7 καὶ εἶπεν αὐτῷ Τωβίας· ὑπόμεινόν με, καὶ
ἐρῶ τῷ πατρί.
8 καὶ εἶπεν αὐτῷ· πορεύου καὶ μὴ χρονίσῃς.
9 καὶ εἰσελθὼν εἶπε τῷ πατρί· ἰδοὺ εὕρηκα
ὃς συμπορεύσεταί μοι. ὁ δὲ εἶπε· φώνησον
αὐτὸν πρός με, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστι
καὶ εἰ πιστὸς τοῦ πορευθῆναι μετὰ σοῦ.
10 καὶ ἐκάλεσεν αὐτόν, καὶ εἰσῆλθε, καὶ
ἠσπάσαντο ἀλλήλους.
11 καὶ εἶπεν αὐτῷ Τωβίτ· ἀδελφέ, ἐκ ποίας
φυλῆς καὶ ἐκ ποίας πατριᾶς εἶ σύ; ὑπόδειξόν
μοι.
12 καὶ εἶπεν αὐτῷ· φυλὴν καὶ πατριὰν σὺ
ζητεῖς ἢ μίσθιον, ὃς συμπορεύσεται μετὰ τοῦ
υἱοῦ σου; καὶ εἶπεν αὐτῷ Τωβίτ· βούλομαι,
ἀδελφέ, ἐπιγνῶναι τὸ γένος σου καὶ τὸ
ὄνομα.

13 ὃς δὲ εἶπεν· ἐγὼ Ἀζαρίας Ἀνανίου τοῦ
μεγάλου, τῶν ἀδελφῶν σου.

14 καὶ εἶπεν αὐτῷ· ὑγιαίνων ἔλθοις, ἀδελφέ,
καὶ μή μοι ὀργισθῇς, ὅτι ἐζήτησα τὴν φυλήν
σου καὶ τὴν πατριάν σου ἐπιγνῶναι. καὶ σὺ
τυγχάνεις ἀδελφός μου ἐκ τῆς καλῆς καὶ
ἀγαθῆς γενεᾶς· ἐπεγίνωσκον γὰρ ἐγὼ
Ἀνανίαν καὶ Ἰωνάθαν τοὺς υἱοὺς Σεμεΐ τοῦ
μεγάλου, ὡς ἐπορευόμεθα κοινῶς εἰς
Ἱεροσόλυμα προσκυνεῖν, ἀναφέροντες τὰ
πρωτότοκα καὶ τὰς δεκάτας τῶν γεννημάτων,
καὶ οὐκ ἐπλανήθησαν ἐν τῇ πλάνῃ τῶν
ἀδελφῶν ἡμῶν. ἐκ ρίζης καλῆς εἶ, ἀδελφέ,
15 ἀλλὰ εἰπόν μοι τίνα σοι ἔσομαι μισθὸν
διδόναι· δραχμὴν τῆς ἡμέρας καὶ τὰ δέοντά
σοι ὡς καὶ τῷ υἱῷ μου.
16 καὶ ἔτι προσθήσω σοι ἐπὶ τὸν μισθόν, ἐὰν
ὑγιαίνοντες ἐπιστρέψητε.

17 καὶ εὐδόκησαν οὕτως. καὶ εἶπε πρὸς
Τωβίαν· ἕτοιμος γίνου πρὸς τὴν ὁδόν· καὶ
εὐοδωθείητε. καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ τὰ
πρὸς τὴν ὁδόν. καὶ εἶπεν αὐτῷ ὁ πατὴρ
αὐτοῦ· πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου, ὁ
δὲ ἐν τῷ οὐρανῷ οἰκῶν Θεὸς εὐοδώσει τὴν
ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος αὐτοῦ
συμπορευθήτω ὑμῖν. καὶ ἐξῆλθαν ἀμφότεροι
ἀπελθεῖν καὶ ὁ κύων τοῦ παιδαρίου μετ᾿
αὐτῶν.
18 ἔκλαυσε δὲ Ἄννα ἡ μήτηρ αὐτοῦ καὶ εἶπε
πρὸς Τωβίτ· τί ἐξαπέστειλας τὸ παιδίον
ἡμῶν; ἢ οὐχὶ ἡ ράβδος τῆς χειρὸς ἡμῶν ἐστιν

ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν καὶ ἐκπορεύεσθαι
ἐνώπιον ἡμῶν;
19 ἀργύριον τῷ ἀργυρίῳ μὴ φθάσαι, ἀλλὰ
περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο·
20 ὡς γὰρ δέδοται ἡμῖν ζῆν παρὰ τοῦ
Κυρίου, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει.
21 καὶ εἶπεν αὐτῇ Τωβίτ· μὴ λόγον ἔχε,
ἀδελφή· ὑγιαίνων ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί
σου ὄψονται αὐτόν·
22 ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται
αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ
ὑποστρέψει ὑγιαίνων. καὶ ἐπαύσατο
κλαίουσα.

# 5

1 ΚΑΙ ἀνηγγέλη Ὀλοφέρνῃ ἀρχιστρατήγῳ
δυνάμεως Ἀσσοὺρ διότι οἱ υἱοὶ Ἰσραὴλ
παρεσκευάσαντο εἰς πόλεμον καὶ τὰς
διόδους τῆς ὀρεινῆς συνέκλεισαν καὶ
ἐτείχισαν πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ καὶ
ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα.
2 καὶ ὠργίσθη θυμῷ σφόδρα καὶ ἐκάλεσε
πάντας τοὺς ἄρχοντας Μωὰβ καὶ τοὺς
στρατηγοὺς Ἀμμὼν καὶ πάντας σατράπας τῆς
παραλίας
3 καὶ εἶπεν αὐτοῖς· ἀναγγείλατε δή μοι, υἱοὶ
Χαναάν, τίς ὁ λαὸς οὗτος ὁ καθήμενος ἐν τῇ
ὀρεινῇ, καὶ τίνες ἃς κατοικοῦσι πόλεις, καὶ
τὸ πλῆθος τῆς δυνάμεως αὐτῶν, καὶ ἐν τίνι
τὸ κράτος αὐτῶν, καὶ ἡ ἰσχὺς αὐτῶν, καὶ τίς
ἀνέστηκεν ἐπ᾽ αὐτῶν βασιλεὺς ἡγούμενος
στρατιᾶς αὐτῶν,

4 καὶ διατὶ κατενωτίσαντο τοῦ μὴ ἐλθεῖν
εἰς ἀπάντησίν μοι παρὰ πάντας τοὺς
κατοικοῦντας ἐν δυσμαῖς;
5 καὶ εἶπε πρὸς αὐτὸν Ἀχιὼρ ὁ ἡγούμενος
πάντων υἱῶν Ἀμμών· ἀκουσάτω δὴ ὁ κύριός
μου λόγον ἐκ στόματος τοῦ δούλου σου, καὶ
ἀναγγελῶ σοι τὴν ἀλήθειαν περὶ τοῦ λαοῦ, ὃς
κατοικεῖ τὴν ὀρεινὴν ταύτην, πλησίον σου
οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ
τοῦ στόματος τοῦ δούλου σου.
6 ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλδαίων,
7 καὶ παρῴκησαν τὸ πρότερον ἐν τῇ
Μεσοποταμίᾳ, ὅτι οὐκ ἐβουλήθησαν
ἀκολουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐτῶν,
οἳ ἐγένοντο ἐν γῇ Χαλδαίων·
8 καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν γονέων αὐτῶν
καὶ προσεκύνησαν τῷ Θεῷ τοῦ οὐρανοῦ, Θεῷ
ᾧ ἐπέγνωσαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ
προσώπου τῶν θεῶν αὐτῶν, καὶ ἔφυγον εἰς
Μεσοποταμίαν καὶ παρῴκησαν ἐκεῖ ἡμέρας
πολλάς.
9 καὶ εἶπεν ὁ Θεὸς αὐτῶν ἐξελθεῖν ἐκ τῆς
παροικίας αὐτῶν καὶ πορευθῆναι εἰς γῆν
Χαναάν, καὶ κατῴκησαν ἐκεῖ καὶ
ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν
κτήνεσι πολλοῖς σφόδρα.
10 καὶ κατέβησαν εἰς Αἴγυπτον, ἐκάλυψε
γὰρ τὸ πρόσωπον τῆς γῆς Χαναὰν λιμός, καὶ
παρῴκησαν ἐκεῖ μέχρις οὗ διετράφησαν· καὶ
ἐγένοντο ἐκεῖ εἰς πλῆθος πολύ, καὶ οὐκ ἦν
ἀριθμὸς τοῦ γένους αὐτῶν.

11 καὶ ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς
Αἰγύπτου καὶ κατεσοφίσαντο αὐτοὺς ἐν πόνῳ
καὶ ἐν πλίνθῳ, καὶ ἐταπείνωσαν αὐτοὺς καὶ
ἔθεντο αὐτοὺς εἰς δούλους·
12 καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν αὐτῶν, καὶ
ἐπάταξε πᾶσαν τὴν γῆν Αἰγύπτου πληγαῖς, ἐν
αἷς οὐκ ἦν ἴασις· καὶ ἐξέβαλον αὐτοὺς οἱ
Αἰγύπτιοι ἀπὸ προσώπου αὐτῶν.
13 καὶ κατεξήρανεν ὁ Θεὸς τὴν ἐρυθρὰν
θάλασσαν ἔμπροσθεν αὐτῶν
14 καὶ ἤγαγεν αὐτοὺς εἰς ὁδὸν τοῦ Σινὰ καὶ
Κάδης Βαρνή· καὶ ἐξέβαλον πάντας τοὺς
κατοικοῦντας ἐν τῇ ἐρήμῳ
15 καὶ ᾤκησαν ἐν γῇ Ἀμορραίων καὶ πάντας
τοὺς Ἐσεβωνίτας ἐξωλόθρευσαν ἐν τῇ ἰσχύϊ
αὐτῶν. καὶ διαβάντες τὸν Ἰορδάνην
ἐκληρονόμησαν πᾶσαν τὴν ὀρεινὴν
16 καὶ ἐξέβαλον ἐκ προσώπου αὐτῶν τὸν
Χαναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν
Ἰεβουσαῖον καὶ τὸν Συχὲμ καὶ πάντας τοὺς
Γεργεσαίους καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας
πολλάς.
17 καὶ ἕως οὐχ ἥμαρτον ἐνώπιον τοῦ Θεοῦ
αὐτῶν, ἦν τὰ ἀγαθὰ μετ᾿ αὐτῶν, ὅτι Θεὸς
μισῶν ἀδικίαν μετ᾿ αὐτῶν ἐστιν.
18 ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς ὁδοῦ, ἧς
διέθετο αὐτοῖς, ἐξωλοθρεύθησαν ἐν πολλοῖς
πολέμοις ἐπὶ πολὺ σφόδρα καὶ
ᾐχμαλωτεύθησαν εἰς γῆν οὐκ ἰδίαν, καὶ ὁ
ναὸς τοῦ Θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος,
καὶ αἱ πόλεις αὐτῶν ἐκρατήθησαν ὑπὸ τῶν

ὑπεναντίων.
19 καὶ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν Θεὸν
αὐτῶν ἀνέβησαν ἐκ τῆς διασπορᾶς, οὗ
διεσπάρησαν ἐκεῖ, καὶ κατέσχον τὴν
Ἱερουσαλήμ, οὗ τὸ ἁγίασμα αὐτῶν, καὶ
κατῳκίσθησαν ἐν τῇ ὀρεινῇ, ὅτι ἦν ἔρημος.
20 καὶ νῦν, δέσποτα κύριε, εἰ μέν ἐστιν
ἀγνόημα ἐν τῷ λαῷ τούτῳ καὶ ἁμαρτάνουσιν
εἰς τὸν Θεὸν αὐτῶν καὶ ἐπισκεψόμεθα ὅτι
ἐστὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ
ἀναβησόμεθα καὶ ἐκπολεμήσομεν αὐτούς.
21 εἰ δὲ οὐκ ἔστιν ἀνομία ἐν τῷ ἔθνει
αὐτῶν, παρελθέτω δὴ ὁ κύριός μου, μήποτε
ὑπερασπίσῃ ὁ Κύριος αὐτῶν καὶ ὁ Θεὸς
αὐτῶν ὑπὲρ αὐτῶν, καὶ ἐσόμεθα εἰς
ὀνειδισμὸν ἐναντίον πάσης τῆς γῆς.
22 καὶ ἐγένετο ὡς ἐπαύσατο Ἀχιὼρ λαλῶν
τοὺς λόγους τούτους, καὶ ἐγόγγυσε πᾶς ὁ
λαὸς ὁ κυκλῶν τὴν σκηνὴν καὶ περιεστώς,
καὶ εἶπαν οἱ μεγιστᾶνες Ὀλοφέρνου καὶ
πάντες οἱ κατοικοῦντες τὴν παραλίαν καὶ
τὴν Μωὰβ συγκόψαι αὐτόν·
23 οὐ γὰρ φοβηθησόμεθα ἀπὸ υἱῶν Ἰσραήλ·
ἰδοὺ γὰρ λαός, ἐν ᾧ οὐκ ἔστι δύναμις οὐδὲ
κράτος εἰς παράταξιν ἰσχυράν·
24 διὸ δὴ ἀναβησόμεθα, καὶ ἔσονται εἰς
κατάβρωμα πάσης τῆς στρατιᾶς σου,
δέσποτα Ὀλοφέρνη.

# 6

1 ΟΙ δὲ πορευόμενοι τὴν ὁδὸν ἦλθον

ἑσπέρας ἐπὶ τὸν Τίγριν ποταμόν, καὶ
ηὐλίζοντο ἐκεῖ.
2 τὸ δὲ παιδάριον κατέβη περικλύσασθαι,
καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ καὶ
ἐβουλήθη καταπιεῖν τὸ παιδάριον.
3 ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ· ἐπιλαβοῦ τοῦ
ἰχθύος. καὶ ἐκράτησε τὸν ἰχθὺν τὸ παιδάριον
καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ τὴν γῆν.
4 καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· ἀνάτεμε τὸν
ἰχθὺν καὶ λαβὼν τὴν καρδίαν καὶ τὸ ἧπαρ καὶ
τὴν χολὴν θὲς ἀσφαλῶς.
5 καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ
ἄγγελος, τὸν δὲ ἰχθὺν ὀπτήσαντες ἔφαγον.
6 καὶ ὥδευον ἀμφότεροι, ἕως οὗ ἤγγισαν ἐν
Ἐκβατάνοις.
7 καὶ εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ· Ἀζαρία
ἀδελφέ, τί ἐστιν ἡ καρδία καὶ τὸ ἧπαρ καὶ ἡ
χολὴ τοῦ ἰχθύος;
8 καὶ εἶπεν αὐτῷ· ἡ καρδία καὶ τὸ ἧπαρ, ἐάν
τινα ὀχλῇ δαιμόνιον ἢ πνεῦμα πονηρόν,
ταῦτα δεῖ καπνίσαι ἐνώπιον ἀνθρώπου ἢ
γυναικός, καὶ οὐκέτι οὐ μὴ ὀχληθῇ·
9 ἡ δὲ χολή, ἐγχρῖσαι ἄνθρωπον, ὃς ἔχει
λευκώματα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται.
10 ὡς δὲ προσήγγισαν τῇ Ράγῃ,
11 εἶπεν ὁ ἄγγελος τῷ παιδαρίῳ· ἀδελφέ,
σήμερον αὐλισθησόμεθα παρὰ Ραγουήλ, καὶ
αὐτὸς συγγενής σού ἐστι, καὶ ἔστιν αὐτῷ
θυγάτηρ ὀνόματι Σάρρα·
12 λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι

αὐτὴν εἰς γυναῖκα, ὅτι σοι ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ γένους αὐτῆς, καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμόν ἐστι.

13 καὶ νῦν ἄκουσόν μου καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅταν ὑποστρέψωμεν ἐκ Ραγῶν, ποιήσομεν τὸν γάμον· διότι ἐπίσταμαι Ραγουὴλ ὅτι οὐ μὴ δῷ αὐτὴν ἀνδρὶ ἑτέρῳ κατὰ τὸν νόμον Μωυσῆ ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοὶ καθήκει λαβεῖν ἢ πάντα ἄνθρωπον.

14 τότε εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ· Ἀζαρία ἀδελφέ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσι καὶ πάντας ἐν τῷ νυμφῶνι ἀπολωλότας.

15 καὶ νῦν ἐγὼ μόνος εἰμὶ τῷ πατρὶ καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθάνω καθὼς καὶ οἱ πρότεροι, ὅτι δαιμόνιον φιλεῖ αὐτήν, ὃ οὐκ ἀδικεῖ οὐδένα πλὴν τῶν προσαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀποθάνω καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ᾿ ὀδύνης ἐπ᾿ ἐμοὶ εἰς τὸν τάφον αὐτῶν· καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς, ὃς θάψει αὐτούς.

16 εἶπε δὲ αὐτῷ ὁ ἄγγελος· οὐ μέμνησαι τῶν λόγων, ὧν ἐνετείλατό σοι ὁ πατήρ σου, ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ νῦν ἄκουσόν μου, ἀδελφέ, διότι σοὶ ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαιμονίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὕτη εἰς γυναῖκα.

17 καὶ ἐὰν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, λήψῃ
τέφραν θυμιαμάτων καὶ ἐπιθήσεις ἀπὸ τῆς
καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος καὶ
καπνίσεις,
18 καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον καὶ
φεύξεται καὶ οὐκ ἐπανελεύσεται εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος. ὅταν δὲ προσπορεύῃ αὐτῇ,
ἐγέρθητε ἀμφότεροι καὶ βοήσατε πρὸς τὸν
ἐλεήμονα Θεόν, καὶ σώσει ὑμᾶς καὶ ἐλεήσει.
μὴ φοβοῦ, ὅτι σοὶ αὐτὴ ἡτοιμασμένη ἦν ἀπὸ
τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ
πορεύσεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω ὅτι
σοι ἔσται ἐξ αὐτῆς παιδία.
19 καὶ ὡς ἤκουσε Τωβίας ταῦτα, ἐφίλησεν
αὐτήν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκολλήθη σφόδρα
αὐτῇ.

# 6

1 ΚΑΙ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν
ἀνδρῶν τῶν κύκλῳ τῆς συνεδρίας, καὶ εἶπεν
Ὀλοφέρνης ὁ ἀρχιστράτηγος δυνάμεως
Ἀσσοὺρ πρὸς Ἀχιὼρ ἐναντίον παντὸς τοῦ
δήμου ἀλλοφύλων καὶ πρὸς πάντας υἱοὺς
Μωάβ·
2 καὶ τίς εἶ σύ, Ἀχιὼρ καὶ οἱ μισθωτοὶ τοῦ
Ἐφραίμ, ὅτι ἐπροφήτευσας ἐν ἡμῖν καθὼς
σήμερον καὶ εἶπας τὸ γένος Ἰσραὴλ μὴ
πολεμῆσαι, ὅτι ὁ Θεὸς αὐτῶν ὑπερασπιεῖ
αὐτῶν; καὶ τίς ὁ Θεὸς εἰ μὴ Ναβουχοδονόσορ;
οὗτος ἀποστελεῖ τὸ κράτος αὐτοῦ καὶ

ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου τῆς γῆς,
καὶ οὐ ρύσεται αὐτοὺς ὁ Θεὸς αὐτῶν·
3 ἀλλ᾿ ἡμεῖς οἱ δοῦλοι αὐτοῦ πατάξομεν
αὐτοὺς ὡς ἄνθρωπον ἕνα, καὶ οὐχ
ὑποστήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν.
4 κατακαύσομεν γὰρ αὐτοὺς ἐν αὐτοῖς, καὶ
τὰ ὄρη αὐτῶν μεθυσθήσεται ἐν τῷ αἵματι
αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται
νεκρῶν αὐτῶν, καὶ οὐκ ἀντιστήσεται τὸ
ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον
ἡμῶν, ἀλλὰ ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ
βασιλεὺς Ναβουχοδονόσορ ὁ κύριος πάσης
τῆς γῆς· εἶπε γάρ, οὐ ματαιωθήσεται τὰ
ρήματα τῶν λόγων αὐτοῦ.
5 σὺ δὲ Ἀχιὼρ μισθωτὲ τοῦ Ἀμμών, ὃς
ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ
ἀδικίας σου, οὐκ ὄψει ἔτι τὸ πρόσωπόν μου
ἀπὸ τῆς ἡμέρας ταύτης, ἕως οὗ ἐκδικήσω τὸ
γένος τῶν ἐξ Αἰγύπτου·
6 καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς
στρατιᾶς μου καὶ ὁ λαὸς τῶν θεραπόντων
μου τὰς πλευράς σου, καὶ πεσῇ ἐν τοῖς
τραυματίαις αὐτῶν, ὅταν ἐπιστρέψω.
7 καὶ ἀποκαταστήσουσί σε οἱ δοῦλοί μου
εἰς τὴν ὀρεινὴν καὶ θήσουσί σε ἐν μιᾷ τῶν
πόλεων τῶν ἀναβάσεων,
8 καὶ οὐκ ἀπολῇ ἕως οὗ ἐξολοθρευθῇς μετ᾿
αὐτῶν.
9 καὶ εἴπερ ἐλπίζεις τῇ καρδίᾳ σου ὅτι οὐ
ληφθήσονται, μὴ συμπεσέτω σου τὸ
πρόσωπον· ἐλάλησα, καὶ οὐδὲν διαπεσεῖται

τῶν ρημάτων μου.
10 καὶ προσέταξεν Ὀλοφέρνης τοῖς δούλοις
αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν τῇ σκηνῇ
αὐτοῦ, συλλαβεῖν τὸν Ἀχιὼρ καὶ
ἀποκαταστῆσαι αὐτὸν εἰς Βαιτυλούα καὶ
παραδοῦναι εἰς χεῖρας υἱῶν Ἰσραήλ.
11 καὶ συνέλαβον αὐτὸν οἱ δοῦλοι αὐτοῦ
καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμβολῆς εἰς τὸ
πεδίον καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς
τὴν ὀρεινὴν καὶ παρεγένοντο ἐπὶ τὰς πηγάς,
αἳ ἦσαν ὑποκάτω Βαιτυλούα.
12 καὶ ὡς εἶδαν αὐτοὺς οἱ ἄνδρες τῆς
πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, ἀνέλαβον
τὰ ὅπλα αὐτῶν καὶ ἀπῆλθον ἔξω τῆς πόλεως
ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ πᾶς ἀνὴρ
σφενδονήτης διεκράτησαν τὴν ἀνάβασιν
αὐτῶν καὶ ἔβαλον ἐν λίθοις ἐπ᾽ αὐτούς.
13 καὶ ὑποδύσαντες ὑποκάτω τοῦ ὄρους
ἔδησαν τὸν Ἀχιὼρ καὶ ἀφῆκαν ἐρριμμένον
ὑπὸ τὴν ρίζαν τοῦ ὄρους καὶ ἀπῴχοντο πρὸς
τὸν κύριον αὐτῶν.
14 καταβάντες δὲ υἱοὶ Ἰσραὴλ ἐκ τῆς
πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ καὶ
λύσαντες αὐτὸν ἀπήγαγον εἰς τὴν Βαιτυλούα
καὶ κατέστησαν αὐτὸν ἐπὶ τοὺς ἄρχοντας τῆς
πόλεως αὐτῶν,
15 οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις, Ὀζίας ὁ
τοῦ Μιχὰ ἐκ τῆς φυλῆς Συμεὼν καὶ Ἀβρὶς ὁ
τοῦ Γοθονιὴλ καὶ Χαρμὶς υἱὸς Μελχιήλ.
16 καὶ συνεκάλεσαν πάντας τοὺς
πρεσβυτέρους τῆς πόλεως, καὶ συνέδραμον

πᾶς νεανίσκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν
ἐκκλησίαν, καὶ ἔστησαν τὸν Ἀχιὼρ ἐν μέσῳ
παντὸς τοῦ λαοῦ αὐτῶν, καὶ ἐπηρώτησεν
αὐτὸν Ὀζίας τὸ συμβεβηκός.
17 καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐτοῖς τὰ
ρήματα τῆς συνεδρίας Ὀλοφέρνου καὶ πάντα
τὰ ρήματα, ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν
ἀρχόντων υἱῶν Ἀσσούρ, καὶ ὅσα
ἐμεγαλορρημόνησεν Ὀλοφέρνης εἰς τὸν οἶκον
Ἰσραήλ.
18 καὶ πεσόντες ὁ λαὸς προσεκύνησαν τῷ
Θεῷ καὶ ἐβόησαν λέγοντες·
19 Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ, κάτιδε ἐπὶ τὰς
ὑπερηφανίας αὐτῶν καὶ ἐλέησον τὴν
ταπείνωσιν τοῦ γένους ἡμῶν καὶ ἐπίβλεψον
ἐπὶ τὸ πρόσωπον τῶν ἡγιασμένων σοι ἐν τῇ
ἡμέρᾳ ταύτῃ.
20 καὶ παρεκάλεσαν τὸν Ἀχιὼρ καὶ
ἐπη£νεσαν αὐτὸν σφόδρα.
21 καὶ παρέλαβεν αὐτὸν Ὀζίας ἐκ τῆς
ἐκκλησίας εἰς οἶκον αὐτοῦ καὶ ἐποίησε πότον
τοῖς πρεσβυτέροις, καὶ ἐπεκαλέσαντο τὸν
Θεὸν Ἰσραὴλ εἰς βοήθειαν ὅλην τὴν νύκτα
ἐκείνην.

# 7

1 ΚΑΙ ἦλθον εἰς Ἐκβάτανα καὶ παρεγένοντο
εἰς τὴν οἰκίαν Ραγουήλ, Σάρρα δὲ ὑπήντησεν
αὐτοῖς καὶ ἐχαιρέτισεν αὐτοὺς καὶ αὐτοὶ
αὐτήν, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν.

2 καὶ εἶπε Ραγουὴλ Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ·
ὡς ὅμοιος ὁ νεανίσκος Τωβὶτ τῷ ἀνεψιῷ μου;
3 καὶ ἠρώτησεν αὐτούς Ραγουήλ· πόθεν
ἐστέ, ἀδελφοί; καὶ εἶπαν αὐτῷ· ἐκ τῶν υἱῶν
Νεφθαλὶμ τῶν αἰχμαλώτων ἐκ Νινευῆ.
4 καὶ εἶπεν αὐτοῖς· γινώσκετε Τωβὶτ τὸν
ἀδελφὸν ἡμῶν; οἱ δὲ εἶπον· γινώσκομεν. καὶ
εἶπεν αὐτοῖς· ὑγιαίνει;
5 οἱ δὲ εἶπαν· καὶ ζῇ καὶ ὑγιαίνει. καὶ εἶπε
Τωβίας· πατήρ μού ἐστι.
6 καὶ ἀνεπήδησε Ραγουὴλ καὶ κατεφίλησεν
αὐτὸν καὶ ἔκλαυσε
7 καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· ὁ
τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώπου υἱός· καὶ
ἀκούσας ὅτι Τωβὶτ ἀπώλεσε τοὺς ὀφθαλμοὺς
ἑαυτοῦ, ἐλυπήθη καὶ ἔκλαυσε.
8 καὶ Ἔδνα ἡ γυνὴ αὐτοῦ καὶ Σάρρα ἡ
θυγάτηρ αὐτοῦ ἔκλαυσαν καὶ ὑπεδέξαντο
αὐτοὺς προθύμως·
9 καὶ ἔθυσαν κριὸν προβάτων καὶ
παρέθηκαν ὄψα πλείονα. εἶπε δὲ Τωβίας τῷ
Ραφαήλ· Ἀζαρία ἀδελφέ, λάλησον ὑπὲρ ὧν
ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω τὸ
πρᾶγμα.
10 καὶ μετέδωκε τὸν λόγον τῷ Ραγουήλ· καὶ
εἶπε Ραγουὴλ πρὸς Τωβίαν· φάγε, πίε καὶ
ἡδέως γίνου, σοὶ γὰρ καθήκει τὸ παιδίον μου
λαβεῖν· πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν.
11 ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσι, καὶ
ὁπότε ἐὰν εἰσεπορεύοντο πρὸς αὐτήν,

ἀπέθνησκον ὑπὸ τὴν νύκτα. ἀλλὰ τὸ νῦν
ἔχον, ἡδέως γίνου. καὶ εἶπε Τωβίας· οὐ
γεύομαι οὐδὲν ὧδε, ἕως ἂν στήσητε καὶ
σταθῆτε πρός με. καὶ εἶπε Ραγουήλ· κομίζου
αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν· σὺ δέ
ἀδελφὸς εἶ αὐτῆς, καὶ αὐτὴ σού ἐστιν· ὁ δὲ
ἐλεήμων Θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα.
12 καὶ ἐκάλεσε Σάρραν τὴν θυγατέρα αὐτοῦ,
καὶ λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν
αὐτὴν Τωβία γυναῖκα καὶ εἶπεν· ἰδοὺ κατὰ
τὸν νόμον Μωυσέως κομίζου αὐτὴν καὶ
ἄπαγε πρὸς τὸν πατέρα σου· καὶ εὐλόγησεν
αὐτούς.
13 καὶ ἐκάλεσεν Ἔδναν τὴν γυναῖκα αὐτοῦ·
καὶ λαβὼν βιβλίον ἔγραψε συγγραφήν, καὶ
ἐσφραγίσατο.
14 καὶ ἤρξαντο ἐσθίειν.
15 καὶ ἐκάλεσε Ραγουὴλ Ἔδναν τήν γυναῖκα
αὐτοῦ καὶ εἶπε αὐτῇ· ἀδελφή, ἑτοίμασον τὸ
ἕτερον ταμιεῖον καὶ εἰσάγαγε αὐτήν.
16 καὶ ἐποίησεν ὡς εἶπε καὶ εἰσήγαγεν
αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσε· καὶ ἀπεδέξατο τὰ
δάκρυα τῆς θυγατρὸς αὐτῆς καὶ εἶπεν αὐτῇ·
17 θάρσει, τέκνον, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ
τῆς γῆς δῴη σοι χάριν ἀντὶ τῆς λύπης σου
ταύτης· θάρσει, θύγατερ.

# 7

1 Τ… δ᾽ ἐπαύριον παρήγγειλεν Ὀλοφέρνης
πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ παντὶ τῷ λαῷ
αὐτοῦ, οἳ παρεγένοντο ἐπὶ τὴν συμμαχίαν

αὐτοῦ, ἀναζευγνύειν ἐπὶ Βαιτυλούα καὶ τὰς
ἀναβάσεις τῆς ὀρεινῆς προκαταλαμβάνεσθαι
καὶ ποιεῖν πόλεμον πρὸς τοὺς υἱοὺς Ἰσραήλ.
2 καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς
ἀνὴρ δυνατὸς αὐτῶν· καὶ ἡ δύναμις αὐτῶν
ἀνδρῶν πολεμιστῶν χιλιάδες ἀνδρῶν πεζῶν
ἑκατὸν ἑβδομήκοντα καὶ ἱππέων χιλιάδες
δεκαδύο, χωρὶς τῆς ἀποσκευῆς καὶ τῶν
ἀνδρῶν, οἳ ἦσαν πεζοὶ ἐν αὐτοῖς, πλῆθος
πολὺ σφόδρα.
3 καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον
Βαιτυλούα ἐπὶ τῆς πηγῆς καὶ παρέτειναν εἰς
εὖρος ἐπὶ Δωθαΐμ καὶ ἕως Βελβαὶμ καὶ εἰς
μῆκος ἀπὸ Βαιτυλούα ἕως Κυαμῶνος, ἥ ἐστιν
ἀπέναντι Ἐσδρηλών.
4 οἱ δὲ υἱοὶ Ἰσραήλ, ὡς εἶδον αὐτῶν τὸ
πλῆθος, ἐταράχθησαν σφόδρα καὶ εἶπεν
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· νῦν
ἐκλείξουσιν οὗτοι τὸ πρόσωπον τῆς γῆς
πάσης, καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ οὔτε αἱ
φάραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ
βάρος αὐτῶν.
5 καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ
πολεμικὰ αὐτῶν καὶ ἀνακαύσαντες πυρὰς
ἐπὶ τοὺς πύργους αὐτῶν, ἔμενον
φυλάσσοντες ὅλην τὴν νύκτα ἐκείνην.
6 τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν
Ὀλοφέρνης πᾶσαν τὴν ἵππον αὐτοῦ κατὰ
πρόσωπον τῶν υἱῶν Ἰσραήλ, οἳ ἦσαν ἐν
Βαιτυλούᾳ,
7 καὶ ἐπεσκέψατο τὰς ἀναβάσεις τῆς

πόλεως αὐτῶν καὶ τὰς πηγὰς τῶν ὑδάτων
αὐτῶν ἐφώδευσε καὶ προκατελάβετο αὐτὰς
καὶ ἐπέστησεν αὐταῖς παρεμβολὰς ἀνδρῶν
πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν
λαὸν αὐτοῦ.
8 καὶ προσελθόντες αὐτῷ οἱ ἄρχοντες τῶν
υἱῶν Ἡσαῦ καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ
Μωὰβ καὶ οἱ στρατηγοὶ τῆς παραλίας εἶπαν·
9 ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡμῶν, ἵνα
μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου·
10 ὁ γὰρ λαὸς οὗτος τῶν υἱῶν Ἰσραὴλ οὐ
πέποιθαν ἐπὶ τοῖς δόρασιν αὐτῶν, ἀλλ᾽ ἐπὶ
τοῖς ὕψεσι τῶν ὀρέων αὐτῶν, ἐν οἷς αὐτοὶ
ἐνοικοῦσιν ἐν αὐτοῖς· οὐ γάρ ἐστιν εὐχερὲς
προσβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν.
11 καὶ νῦν, δέσποτα, μὴ πολέμει πρὸς
αὐτούς, καθὼς γίνεται πόλεμος παρατάξεως,
καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ σου ἀνὴρ εἷς.
12 ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου
διαφυλάσσων πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς
σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς
πηγῆς τοῦ ὕδατος, ἣ ἐκπορεύεται ἐκ τῆς ρίζης
τοῦ ὄρους,
13 διότι ἐκεῖθεν ὑδρεύονται πάντες οἱ
κατοικοῦντες Βαιτυλούα, καὶ ἀνελεῖ αὐτοὺς
ἡ δίψα, καὶ ἐκδώσουσι τὴν πόλιν ἑαυτῶν· καὶ
ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ τὰς
πλησίον κορυφὰς τῶν ὀρέων καὶ
παρεμβαλοῦμεν ἐπ᾽ αὐταῖς εἰς προφυλακὴν
τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕνα.
14 καὶ τακήσονται ἐν τῷ λιμῷ αὐτοὶ καὶ αἱ

γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ
πρὶν ἐλθεῖν τὴν ρομφαίαν ἐπ᾿ αὐτούς,
καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς
οἰκήσεως αὐτῶν.
15 καὶ ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα
πονηρόν, ἀνθ᾿ ὧν ἐστασίασαν, καὶ οὐκ
ἀπήντησαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ.
16 καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν ἐνώπιον
Ὀλοφέρνου καὶ ἐνώπιον πάντων τῶν
θεραπόντων αὐτοῦ, καὶ συνέταξαν ποιεῖν
καθὼς ἐλάλησαν.
17 καὶ ἀπῆρε παρεμβολὴ υἱῶν Ἀμμὼν καὶ
μετ᾿ αὐτῶν χιλιάδες πέντε υἱῶν Ἀσσοὺρ καὶ
παρενέβαλον ἐν τῷ αὐλῶνι καὶ
προκατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν
ὑδάτων τῶν υἱῶν Ἰσραήλ.
18 καὶ ἀνέβησαν υἱοὶ Ἡσαῦ καὶ οἱ υἱοὶ
Ἀμμὼν καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ
ἀπέναντι Δωθαΐμ. καὶ ἀπέστειλαν ἐξ αὐτῶν
πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι
Ἐγρεβήλ, ἥ ἐστι πλησίον Χούς, ἥ ἐστιν ἐπὶ
τοῦ χειμάρρου Μοχμούρ. καὶ ἡ λοιπὴ στρατιὰ
τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ καὶ
ἐκάλυψαν πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ αἱ
σκηναὶ καὶ αἱ ἀπαρτίαι αὐτῶν
κατεστρατοπέδευσαν ἐν ὄχλῳ πολλῷ καὶ
ἦσαν εἰς πλῆθος πολὺ σφόδρα.
19 Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀνεβόησαν πρὸς
Κύριον Θεὸν αὐτῶν, ὅτι ὠλιγοψύχησε τὸ
πνεῦμα αὐτῶν, ὅτι ἐκύκλωσαν πάντες οἱ
ἐχθροὶ αὐτῶν καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου

αὐτῶν.
20 καὶ ἔμεινε κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ
Ἀσσούρ, οἱ πεζοὶ καὶ τὰ ἅρματα καὶ οἱ ἱππεῖς
αὐτῶν, ἡμέρας τριακοντατέσσαρας. καὶ
ἐξέλιπε πάντας τοὺς κατοικοῦντας
Βαιτυλούα πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν
ὑδάτων,
21 καὶ οἱ λάκκοι ἐξεκενοῦντο, καὶ οὐκ εἶχον
πιεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν μίαν, ὅτι
ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πιεῖν.
22 καὶ ἠθύμησαν τὰ νήπια αὐτῶν, καὶ αἱ
γυναῖκες αὐτῶν καὶ οἱ νεανίσκοι ἐξέλιπον
ἀπὸ τῆς δίψης καὶ ἔπιπτον ἐν ταῖς πλατείαις
τῆς πόλεως καὶ ἐν ταῖς διόδοις τῶν πυλῶν,
καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς.
23 καὶ ἐπισυνήχθησαν πᾶς ὁ λαὸς ἐπὶ Ὀζίαν
καὶ τοὺς ἄρχοντας τῆς πόλεως, οἱ νεανίσκοι
καὶ αἱ γυναῖκες καὶ τὰ παιδία, καὶ
ἀνεβόησαν φωνῇ μεγάλῃ καὶ εἶπαν ἐναντίον
πάντων τῶν πρεσβυτέρων·
24 κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν,
ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀδικίαν μεγάλην οὐ
λαλήσαντες εἰρηνικὰ μετὰ τῶν υἱῶν Ἀσσούρ.
25 καὶ νῦν οὐκ ἔστι βοηθὸς ἡμῶν, ἀλλὰ
πέπρακεν ἡμᾶς ὁ Θεὸς εἰς τὰς χεῖρας αὐτῶν
τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν ἐν δίψῃ
καὶ ἀπωλείᾳ μεγάλῃ.
26 καὶ νῦν ἐπικαλέσασθε αὐτοὺς καὶ
ἔκδοσθε τὴν πόλιν πᾶσαν εἰς προνομὴν τῷ
λαῷ Ὀλοφέρνου καὶ πάσῃ τῇ δυνάμει αὐτοῦ·
27 κρεῖσσον γὰρ ἡμῖν γενηθῆναι αὐτοῖς εἰς

διαρπαγήν, ἐσόμεθα γὰρ εἰς δούλους, καὶ
ζήσεται ἡ ψυχὴ ἡμῶν, καὶ οὐκ ὀψόμεθα τὸν
θάνατον τῶν νηπίων ἡμῶν ἐν ὀφθαλμοῖς
ἡμῶν καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν
ἐκλειπούσας τὰς ψυχὰς αὐτῶν.
28 μαρτυρόμεθα ὑμῖν τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ τὸν Θεὸν ἡμῶν καὶ Κύριον τῶν
πατέρων ἡμῶν, ὃς ἐκδικεῖ ἡμᾶς κατὰ τὰς
ἁμαρτίας ἡμῶν καὶ κατὰ τὰ ἁμαρτήματα τῶν
πατέρων ἡμῶν, ἵνα μὴ ποιήσῃ κατὰ τὰ
ρήματα ταῦτα ἐν τῇ ἡμέρᾳ τῇ σήμερον.
29 καὶ ἐγένετο κλαυθμὸς μέγας ἐν μέσῳ τῆς
ἐκκλησίας πάντων ὁμοθυμαδὸν καὶ ἐβόησαν
πρὸς Κύριον τὸν Θεὸν φωνῇ μεγάλῃ.
30 καὶ εἶπε πρὸς αὐτοὺς Ὀζίας· θαρσεῖτε,
ἀδελφοί, διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας,
ἐν αἷς ἐπιστρέψει Κύριος ὁ Θεὸς ἡμῶν τὸ
ἔλεος αὐτοῦ ἐφ᾿ ἡμᾶς, οὐ γὰρ ἐγκαταλείψει
ἡμᾶς εἰς τέλος·
31 ἐὰν δὲ διέλθωσιν αὗται καὶ μὴ ἔλθῃ ἐφ᾿
ἡμᾶς βοήθεια, ποιήσω κατὰ τὰ ρήματα ὑμῶν.
καὶ ἐσκόρπισε τὸν λαὸν εἰς τὴν ἑαυτοῦ
παρεμβολήν, καὶ ἐπὶ τὰ τείχη καὶ τοὺς
πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον, καὶ τὰς
γυναῖκας καὶ τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν
ἐξαπέστειλε· καὶ ἦσαν ἐν ταπεινώσει πολλῇ
ἐν τῇ πόλει.

# 8

1 ΟΤΕ δὲ συνετέλεσαν δειπνοῦντες,
εἰσήγαγον Τωβίαν πρὸς αὐτήν.

2 ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων
Ραφαὴλ καὶ ἔλαβε τὴν τέφραν τῶν
θυμιαμάτων καὶ ἐπέθηκε τὴν καρδίαν τοῦ
ἰχθύος καὶ τὸ ἧπαρ καὶ ἐκάπνισεν.
3 ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς,
ἔφυγεν εἰς τὰ ἀνώτατα Αἰγύπτου καὶ ἔδησεν
αὐτὸ ὁ ἄγγελος.
4 ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι, ἀνέστη
Τωβίας ἀπὸ τῆς κλίνης καὶ εἶπεν· ἀνάστηθι,
ἀδελφή, καὶ προσευξώμεθα, ἵνα ἐλεήσῃ ἡμᾶς
ὁ Κύριος.
5 καὶ ἤρξατο Τωβίας λέγειν· εὐλογητὸς εἶ, ὁ
Θεὸς τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ
ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς τοὺς
αἰῶνας· εὐλογησάτωσάν σε οἱ οὐρανοὶ καὶ
πᾶσαι αἱ κτίσεις σου.
6 σὺ ἐποίησας Ἀδὰμ καὶ ἔδωκας αὐτῷ
βοηθὸν Εὔαν στήριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ
τούτων ἐγεννήθη τὸ ἀνθρώπων σπέρμα. σὺ
εἶπας· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον,
ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ.
7 καὶ νῦν, Κύριε, οὐ διά πορνείαν ἐγὼ
λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλὰ ἐπ᾿
ἀληθείας ἐπίταξον ἐλεῆσαί με καὶ αὐτῇ
συγκαταγηρᾶσαι.
8 καὶ εἶπε μετ᾿ αὐτοῦ· ἀμήν.
9 καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα.
10 καὶ ἀναστὰς Ραγουὴλ ἐπορεύθη καὶ
ὤρυξε τάφον λέγων· μὴ καὶ οὗτος ἀποθάνῃ;
11 καὶ ἦλθε Ραγουὴλ εἰς τὴν οἰκίαν ἑαυτοῦ

12 καὶ εἶπεν Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ· ἀπόστειλον μίαν τῶν παιδισκῶν, καὶ ἰδέτωσαν εἰ ζῇ· εἰ δὲ μή, ἵνα θάψωμεν αὐτόν, καὶ μηδεὶς γνῷ.
13 καὶ εἰσῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν καὶ εὗρε τοὺς δύο καθεύδοντας.
14 καὶ ἐξελθοῦσα ἀπήγγειλεν αὐτοῖς, ὅτι ζῇ.
15 καὶ εὐλόγησε Ραγουὴλ τὸν Θεὸν λέγων· εὐλογητὸς εἶ σύ, ὁ Θεός, ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ, καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου καὶ πᾶσαι αἱ κτίσεις σου, καὶ πάντες οἱ ἄγγελοί σου καὶ οἱ ἐκλεκτοί σου εὐλογείτωσάν σε εἰς τοὺς αἰῶνας.
16 εὐλογητὸς εἶ ὅτι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ᾿ ἡμῶν.
17 εὐλογητὸς εἶ ὅτι ἠλέησας δύο μονογενεῖς· ποίησον αὐτοῖς, δέσποτα, ἔλεος, συντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ μετ᾿ εὐφροσύνης καὶ ἐλέους.
18 ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον.
19 καὶ ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δεκατεσσάρων.
20 καὶ εἶπεν αὐτῷ Ραγουὴλ πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου ἐνόρκως μὴ ἐξελθεῖν αὐτὸν ἐὰν μὴ πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου.
21 καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ πορεύεσθαι μεθ᾿ ὑγιείας

πρὸς τὸν πατέρα· καὶ τὰ λοιπά, ὅταν
ἀποθάνω καὶ ἡ γυνή μου.

# 8

1 ΚΑΙ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις
Ἰουδίθ, θυγάτηρ Μεραρί, υἱοῦ Ὤξ, υἱοῦ
Ἰωσήφ, υἱοῦ Ὀζιήλ, υἱοῦ Ἐλκία, υἱοῦ Ἠλιού,
υἱοῦ Χελκίου, υἱοῦ Ἐλιάβ, υἱοῦ Ναθαναήλ,
υἱοῦ Σαλαμιήλ, υἱοῦ Σαρασαδαΐ, υἱοῦ Ἰσραήλ.
2 καὶ ὁ ἀνὴρ αὐτῆς Μανασσῆς τῆς φυλῆς
αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἀπέθανεν
ἐν ἡμέραις θερισμοῦ κριθῶν·
3 ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ
δράγμα τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλθεν ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν
κλίνην καὶ ἐτελεύτησεν ἐν Βαιτυλούᾳ τῇ
πόλει αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν
πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον
Δωθαΐμ καὶ Βαλαμών.
4 καὶ ἦν Ἰουδὶθ ἐν τῷ οἴκῳ αὐτῆς
χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας.
5 καὶ ἐποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ
δώματος τοῦ οἴκου αὐτῆς καὶ ἐπέθηκεν ἐπὶ
τὴν ὀσφὺν αὐτῆς σάκκον, καὶ ἦν ἐπ᾽ αὐτῆς
τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς.
6 καὶ ἐνήστευε πάσας τὰς ἡμέρας
χηρεύσεως αὐτῆς, χωρὶς προσαββάτων καὶ
σαββάτων καὶ προνουμηνιῶν καὶ νουμηνιῶν
καὶ ἑορτῶν καὶ χαρμοσυνῶν οἴκου Ἰσραήλ.
7 καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει
σφόδρα· καὶ ὑπελίπετο αὐτῇ Μανασσῆς, ὁ

ἀνὴρ αὐτῆς, χρυσίον καὶ ἀργύριον καὶ παῖδας
καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς, καὶ
ἔμενεν ἐπ᾽ αὐτῶν.
8 καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ρῆμα
πονηρόν, ὅτι ἐφοβεῖτο τὸν Θεὸν σφόδρα
9 καὶ ἤκουσε τὰ ρήματα τοῦ λαοῦ τὰ πονηρὰ
ἐπὶ τὸν ἄρχοντα, ὅτι ὠλιγοψύχησαν ἐπὶ τῇ
σπάνει τῶν ὑδάτων, καὶ ἤκουσε πάντας τοὺς
λόγους Ἰουδίθ, οὓς ἐλάλησε πρὸς αὐτοὺς
Ὀζίας, ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν
πόλιν μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις.
10 καὶ ἀποστείλασα τὴν ἅβραν αὐτῆς τὴν
ἐφεστῶσαν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῆς
ἐκάλεσεν Ὀζίαν καὶ Χαβρὶν καὶ Χαρμὶν τοὺς
πρεσβυτέρους τῆς πόλεως αὐτῆς,
11 καὶ ἦλθον πρὸς αὐτήν, καὶ εἶπε πρὸς
αὐτούς· ἀκούσατε δή μου, ἄρχοντες τῶν
κατοικούντων ἐν Βαιτυλούᾳ, ὅτι οὐκ εὐθὺς ὁ
λόγος ὑμῶν, ὃν ἐλαλήσατε ἐναντίον τοῦ
λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐστήσατε τὸν
ὅρκον, ὃν ἐλαλήσατε ἀνὰ μέσον τοῦ Θεοῦ καὶ
ὑμῶν καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς
ἐχθροῖς ἡμῶν, ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ ὁ
Κύριος βοηθῆσαι ἡμῖν.
12 καὶ νῦν τίνες ἐστὲ ὑμεῖς, οἳ ἐπειράσατε
τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον καὶ ἵστατε
ὑπὲρ τοῦ Θεοῦ ἐν μέσῳ υἱῶν ἀνθρώπων;
13 καὶ νῦν Κύριον παντοκράτορα ἐξετάζετε
καὶ οὐθὲν ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος,
14 ὅτι βάθος καρδίας ἀνθρώπου οὐχ
εὑρήσετε καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ

διαλήψεσθε· καὶ πῶς τὸν Θεόν, ὃς ἐποίησε τὰ
πάντα ταῦτα, ἐρευνήσετε καὶ τὸν νοῦν αὐτοῦ
ἐπιγνώσεσθε καὶ τὸν λογισμὸν αὐτοῦ
κατανοήσετε; μηδαμῶς, ἀδελφοί, μὴ
παροργίζετε Κύριον τὸν Θεὸν ἡμῶν·
15 ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε
ἡμέραις βοηθῆσαι ἡμῖν, αὐτὸς ἔχει τὴν
ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις ἢ
καὶ ὀλοθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν
ἐχθρῶν ἡμῶν.
16 ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς
Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὅτι οὐχ ὡς ἄνθρωπος
ὁ Θεὸς ἀπειληθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου
διαιτηθῆναι.
17 διόπερ ἀναμένοντες τὴν παρ᾿ αὐτοῦ
σωτηρίαν ἐπικαλεσώμεθα αὐτὸν εἰς βοήθειαν
ἡμῶν, καὶ εἰσακούσεται τῆς φωνῆς ἡμῶν, ἐὰν
ᾖ αὐτῷ ἀρεστόν.
18 ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς ἡμῶν
οὐδέ ἐστιν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε φυλὴ
οὔτε πατριὰ οὔτε δῆμος οὔτε πόλις ἐξ ἡμῶν,
οἳ προσκυνοῦσι θεοῖς χειροποιήτοις, καθάπερ
ἐγένετο ἐν ταῖς πρότερον ἡμέραις·
19 ὧν χάριν ἐδόθησαν εἰς ρομφαίαν καὶ εἰς
διαρπαγὴν οἱ πατέρες ἡμῶν καὶ ἔπεσον
πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ἡμῶν.
20 ἡμεῖς δὲ ἕτερον θεὸν οὐκ ἐπέγνωμεν
πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι οὐχ
ὑπερόψεται ἡμᾶς, οὐδ᾿ ἀπὸ τοῦ γένους ἡμῶν.
21 ὅτι ἐν τῷ ληφθῆναι ἡμᾶς οὕτως
καθήσεται πᾶσα ἡ Ἰουδαία, καὶ

προνομευθήσεται τὰ ἅγια ἡμῶν, καὶ ζητήσει
τὴν βεβήλωσιν αὐτῶν ἐκ τοῦ αἵματος ἡμῶν
22 καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν καὶ
τὴν αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν
τῆς κληρονομίας ἡμῶν ἐπιστρέψει εἰς
κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ἐὰν
δουλεύσωμεν ἐκεῖ, καὶ ἐσόμεθα εἰς
πρόσκομμα καὶ εἰς ὄνειδος ἐναντίον τῶν
κτωμένων ἡμᾶς.
23 ὅτι οὐ κατευθυνθήσεται ἡ δουλεία ἡμῶν
εἰς χάριν, ἀλλ᾽ εἰς ἀτιμίαν θήσει αὐτὴν
Κύριος ὁ Θεὸς ἡμῶν.
24 καὶ νῦν, ἀδελφοί, ἐπιδειξώμεθα τοῖς
ἀδελφοῖς ἡμῶν, ὅτι ἐξ ἡμῶν κρέμαται ἡ ψυχὴ
αὐτῶν, καὶ τὰ ἅγια καὶ ὁ οἶκος καὶ τὸ
θυσιαστήριον ἐπιστήρικται ἐφ᾽ ἡμῖν.
25 παρὰ ταῦτα πάντα εὐχαριστήσωμεν
Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ
καὶ τοὺς πατέρας ἡμῶν.
26 μνήσθητε ὅσα ἐποίησε μετὰ Ἀβραὰμ καὶ
ὅσα ἐπείρασε τὸν Ἰσαὰκ καὶ ὅσα ἐγένετο τῷ
Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας
ποιμαίνοντι τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ
τῆς μητρὸς αὐτοῦ.
27 ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς
ἐτασμὸν τῆς καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ
ἐξεδίκησεν, ἀλλ᾽ εἰς νουθέτησιν μαστιγοῖ
Κύριος τοὺς ἐγγίζοντας αὐτῷ.
28 καὶ εἶπε πρὸς αὐτὴν Ὀζίας· πάντα, ὅσα
εἶπας, ἀγαθῇ καρδίᾳ ἐλάλησας, καὶ οὐκ ἔστιν
ὃς ἀντιστήσεται τοῖς λόγοις σου·

29 ὅτι οὐκ ἐν τῇ σήμερον ἡ σοφία σου
πρόδηλός ἐστιν, ἀλλὰ ἀπ᾿ ἀρχῆς ἡμερῶν σου
ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι
ἀγαθόν ἐστι τὸ πλάσμα τῆς καρδίας σου.

30 ἀλλ᾿ ὁ λαὸς ἐδίψησε σφόδρα καὶ
ἠνάγκασαν ποιῆσαι ἡμᾶς καθὰ ἐλαλήσαμεν
αὐτοῖς καὶ ἐπαγαγεῖν ὅρκον ἐφ᾿ ἡμᾶς, ὃν οὐ
παραβησόμεθα.

31 καὶ νῦν δεήθητι περὶ ἡμῶν, ὅτι γυνὴ
εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ Κύριος τὸν ὑετὸν
εἰς πλήρωσιν τῶν λάκκων ἡμῶν, καὶ οὐκ
ἐκλείψωμεν ἔτι.

32 καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· ἀκούσατέ
μου, καὶ ποιήσω πρᾶγμα, ὃ ἀφίξεται εἰς
γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν.

33 ὑμεῖς στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύκτα
ταύτην, καὶ ἐξελεύσομαι ἐγὼ μετὰ τῆς ἅβρας
μου, καὶ ἐν ταῖς ἡμέραις, μεθ᾿ ἃς εἴπατε
παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν,
ἐπισκέψεται Κύριος τὸν Ἰσραὴλ ἐν χειρί μου·

34 ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν πρᾶξίν
μου, οὐ γὰρ ἐρῶ ὑμῖν, ἕως τοῦ τελεσθῆναι ἃ
ἐγὼ ποιῶ.

35 καὶ εἶπεν Ὀζίας καὶ οἱ ἄρχοντες πρὸς
αὐτήν· πορεύου εἰς εἰρήνην, καὶ Κύριος ὁ
Θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν
ἐχθρῶν ἡμῶν.

36 καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς
ἐπορεύθησαν ἐπὶ τὰς διατάξεις αὐτῶν.

# 9

1 ΚΑΙ ἐκάλεσε Τωβίας τὸν Ραφαὴλ καὶ
εἶπεν αὐτῷ·
2 Ἀζαρία ἀδελφέ, λάβε μετὰ σεαυτοῦ παῖδα
καὶ δύο καμήλους καὶ πορεύθητι ἐν Ράγοις
τῆς Μηδίας παρὰ Γαβαὴλ καὶ κόμισαί μοι τὸ
ἀργύριον καὶ αὐτὸν ἄγε μοι εἰς τὸν γάμον·
3 διότι ὠμόμοκε Ραγουὴλ μὴ ἐξελθεῖν με,
4 καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας, καὶ
ἐὰν χρονίσω μέγα, ὀδυνηθήσεται λίαν.
5 καὶ ἐπορεύθη Ραφαὴλ καὶ ηὐλίσθη παρὰ
Γαβαήλ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον· ὃς
δὲ προήνεγκε τὰ θυλάκια ἐν ταῖς σφαγῖσι καὶ
ἔδωκεν αὐτῷ.
6 καὶ ὤρθρευσαν κοινῶς καὶ ἦλθον εἰς τὸν
γάμον. καὶ εὐλόγησε Τωβίας τὴν γυναῖκα
αὐτοῦ.

# 9

1 ΙΟΥΔΙΘ δὲ ἔπεσεν ἐπὶ πρόσωπον καὶ
ἐπέθετο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῆς καὶ
ἐγύμνωσεν ὃν ἐνεδιδύσκετο σάκκον, καὶ ἦν
ἄρτι προσφερόμενον ἐν Ἱερουσαλὴμ εἰς τὸν
οἶκον τοῦ Θεοῦ τὸ θυμίαμα τῆς ἑσπέρας
ἐκείνης, καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδὶθ πρὸς
Κύριον καὶ εἶπε·
2 Κύριε ὁ Θεὸς τοῦ πατρός μου Συμεών, ᾧ
ἔδωκας ἐν χειρὶ ρομφαίαν εἰς ἐκδίκησιν
ἀλλογενῶν, οἳ ἔλυσαν μήτραν παρθένου εἰς
μίασμα καὶ ἐγύμνωσαν μηρὸν εἰς αἰσχύνην

καὶ ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος· εἶπας
γάρ, οὐχ οὕτως ἔσται· καὶ ἐποίησαν
3 ἀνθ᾽ ὧν ἔδωκας ἄρχοντας αὐτῶν εἰς
φόνον καὶ τὴν στρωμνὴν αὐτῶν, ἣ ᾐδέσατο
τὴν ἀπάτην αὐτῶν, εἰς αἷμα, καὶ ἐπάταξας
δούλους ἐπὶ δυνάσταις καὶ δυνάστας ἐπὶ
θρόνους αὐτῶν.
4 καὶ ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομὴν
καὶ θυγατέρας εἰς αἰχμαλωσίαν καὶ πάντα τὰ
σκῦλα εἰς διαίρεσιν υἱῶν ἠγαπημένων ὑπὸ
σοῦ, οἳ καὶ ἐζήλωσαν τὸν ζῆλόν σου καὶ
ἐβδελύξαντο μίασμα αἵματος αὐτῶν καὶ
ἐπεκαλέσαντό σε εἰς βοηθόν. ὁ Θεὸς ὁ Θεὸς ὁ
ἐμός, καὶ εἰσάκουσον ἐμοῦ τῆς χήρας·
5 σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων καὶ
ἐκεῖνα καὶ τὰ μετέπειτα καὶ τὰ νῦν καὶ τὰ
ἐπερχόμενα διενοήθης, καὶ ἐγενήθησαν ἃ
ἐνενοήθης,
6 καὶ παρέστησαν ἃ ἐβουλεύσω καὶ εἶπαν·
ἰδοὺ πάρεσμεν· πᾶσαι γὰρ αἱ ὁδοί σου
ἕτοιμοι, καὶ ἡ κρίσις σου ἐν προγνώσει·
7 ἰδοὺ γὰρ Ἀσσύριοι ἐπληθύνθησαν ἐν
δυνάμει αὐτῶν, ὑψώθησαν ἐφ᾽ ἵππῳ καὶ
ἀναβάτῃ ἐγαυρίασαν ἐν βραχίονι πεζῶν,
ἤλπισαν ἐν ἀσπίδι καὶ ἐν γαισῷ καὶ τόξῳ καὶ
σφενδόνῃ καὶ οὐκ ἔγνωσαν ὅτι σὺ εἶ Κύριος
συντρίβων πολέμους.
8 Κύριος ὄνομά σοι· σὺ ῥάξον αὐτῶν τὴν
ἰσχὺν ἐν δυνάμει σου καὶ κάταξον τὸ κράτος
αὐτῶν ἐν τῷ θυμῷ σου· ἐβουλεύσαντο γὰρ
βεβηλῶσαι τὰ ἅγιά σου, μιᾶναι τὸ σκήνωμα

τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης
σου καὶ καταβαλεῖν σιδήρῳ κέρας
θυσιαστηρίου σου.
9 βλέψον εἰς ὑπερηφανίαν αὐτῶν,
ἀπόστειλον τὴν ὀργήν σου εἰς κεφαλὰς
αὐτῶν, δὸς ἐν χειρί μου τῆς χήρας ὃ
διενοήθην κράτος.
10 πάταξον δοῦλον ἐκ χειλέων ἀπάτης μου
ἐπ᾿ ἄρχοντι καὶ ἄρχοντα ἐπὶ θεράποντι
αὐτοῦ, θραῦσον αὐτῶν τὸ ἀνάστημα ἐν χειρὶ
θηλείας·
11 οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ
δυναστεία σου ἐν ἰσχύουσιν, ἀλλὰ ταπεινῶν
εἶ Θεός, ἐλαττόνων εἶ βοηθός, ἀντιλήπτωρ
ἀσθενούντων, ἀπεγνωσμένων σκεπαστής,
ἀπηλπισμένων σωτήρ.
12 ναὶ ναὶ ὁ Θεὸς τοῦ πατρός μου καὶ Θεὸς
κληρονομίας Ἰσραήλ, δέσποτα τῶν οὐρανῶν
καὶ τῆς γῆς, κτίστα τῶν ὑδάτων, βασιλεῦ
πάσης κτίσεώς σου, σὺ εἰσάκουσον τῆς
δεήσεώς μου
13 καὶ δὸς λόγον μου καὶ ἀπάτην εἰς τραῦμα
καὶ μώλωπα αὐτῶν, οἳ κατὰ τῆς διαθήκης
σου καὶ οἴκου ἡγιασμένου σου καὶ κορυφῆς
Σιὼν καὶ οἴκου κατασχέσεως υἱῶν σου
ἐβουλεύσαντο σκληρά.
14 καὶ ποίησον ἐπὶ πᾶν τὸ ἔθνος σου, καὶ
πάσης φυλῆς ἐπίγνωσιν τοῦ εἰδῆσαι ὅτι σὺ εἶ
ὁ Θεὸς πάσης δυνάμεως καὶ κράτους, καὶ οὐκ
ἔστιν ἄλλος ὑπερασπίζων τοῦ γένους
Ἰσραήλ, εἰ μὴ σύ.

# 10

1 ΚΑΙ Τωβὶτ ὁ πατὴρ αὐτοῦ ἐλογίσατο
ἑκάστης ἡμέρας· καὶ ὡς ἐπληρώθησαν αἱ
ἡμέραι τῆς πορείας καὶ οὐκ ἤρχοντο,
2 εἶπε· μήποτε κατῃ£σχυνται; ἢ μήποτε
ἀπέθανε Γαβαὴλ καὶ οὐδεὶς αὐτῷ δίδωσι τὸ
ἀργύριον;
3 καὶ ἐλυπεῖτο λίαν.
4 εἶπε δὲ αὐτῷ ἡ γυνή· ἀπώλετο τὸ παιδίον,
διότι κεχρόνικε· καὶ ἤρξατο θρηνεῖν αὐτὸν
καὶ εἶπεν·
5 οὐ μέλοι μοι, τέκνον, ὅτι ἀφῆκά σε τὸ φῶς
τῶν ὀφθαλμῶν μου;
6 καὶ Τωβὶτ λέγει αὐτῇ· σίγα, μὴ λόγον ἔχει,
ὑγιαίνει.
7 καὶ εἶπεν αὐτῷ· σίγα, μὴ πλάνα με,
ἀπώλετο τὸ παιδίον μου. καὶ ἐπορεύετο καθ᾿
ἡμέραν εἰς τὴν ὁδὸν ἔξω, οἵας ἀπῆλθεν,
ἡμέρας τε ἄρτον οὐκ ἤσθιε, τὰς δέ νύκτας οὐ
διελίμπανε θρηνοῦσα Τωβίαν τὸν υἱὸν αὐτῆς,
ἕως οὗ συνετελέσθησαν αἱ δεκατέσσαρες
ἡμέραι τοῦ γάμου, ἃς ὤμοσε Ραγουὴλ ποιῆσαι
αὐτὸν ἐκεῖ· εἶπε δὲ Τωβίας τῷ Ραγουήλ·
ἐξαπόστειλόν με, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ
μου οὐκέτι ἐλπίζουσιν ὄψεσθαί με.
8 εἶπε δὲ αὐτῷ ὁ πενθερός· μεῖνον παρ᾿
ἐμοί, κἀγὼ ἐξαποστελῶ πρὸς τὸν πατέρα σου
καὶ δηλώσουσιν αὐτῷ τὰ κατὰ σέ.
9 καὶ Τωβίας λέγει· ἐξαπόστειλόν με πρὸς
τὸν πατέρα μου.
10 ἀναστὰς δὲ Ραγουὴλ ἔδωκεν αὐτῷ

Σάρραν τὴν γυναῖκα αὐτοῦ καὶ τὰ ἥμισυ τῶν ὑπαρχόντων, σώματα καὶ κτήνη καὶ ἀργύριον,
11 καὶ εὐλογήσας αὐτοὺς ἐξαπέστειλε λέγων· εὐοδώσει ὑμᾶς, τέκνα, ὁ Θεὸς τοῦ οὐρανοῦ πρὸ τοῦ με ἀποθανεῖν.
12 καὶ εἶπε τῇ θυγατρὶ αὐτοῦ· τίμα τοὺς πενθερούς σου, αὐτοὶ νῦν γονεῖς σού εἰσιν· ἀκούσαιμί σου ἀκοὴν καλήν, καὶ ἐφίλησεν αὐτήν. καὶ Ἔδνα εἶπε πρὸς Τωβίαν· ἀδελφὲ ἀγαπητέ, ἀποκαταστήσαι σε ὁ Κύριος τοῦ οὐρανοῦ καὶ δῴη μοι ἰδεῖν σου παιδία ἐκ Σάρρας τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ ἐνώπιον τοῦ Κυρίου· καὶ ἰδοὺ παρατίθεμαί σοι τὴν θυγατέρα μου ἐν παρακαταθήκῃ, μὴ λυπήσῃς αὐτήν.
13 μετὰ ταῦτα ἐπορεύετο καὶ Τωβίας εὐλογῶν τὸν Θεόν, ὅτι εὐώδωσε τὴν ὁδὸν αὐτοῦ, καὶ κατευλόγει Ραγουὴλ καὶ Ἔδναν τὴν γυναῖκα αὐτοῦ.

# 10

1 ΚΑΙ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν Θεὸν Ἰσραὴλ καὶ συνετέλεσε πάντα τὰ ρήματα ταῦτα,
2 καὶ ἀνέστη ἀπὸ τῆς πτώσεως καὶ ἐκάλεσε τὴν ἅβραν αὐτῆς καὶ κατέβη εἰς τὸν οἶκον, ἐν ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέραις τῶν σαββάτων καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς·
3 καὶ περιείλατο τὸν σάκκον, ὃν ἐνεδεδύκει, καὶ ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως

αὐτῆς καὶ περιεκλύσατο τὸ σῶμα ὕδατι καὶ
ἐχρίσατο μύρῳ παχεῖ καὶ διέταξε τὰς τρίχας
τῆς κεφαλῆς αὐτῆς καὶ ἐπέθετο μίτραν ἐπ᾿
αὐτῆς καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς
εὐφροσύνης αὐτῆς, ἐν οἷς ἐστολίζετο ἐν ταῖς
ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς
Μανασσῆ,

4 καὶ ἔλαβε σανδάλια εἰς τοὺς πόδας αὐτῆς
καὶ περιέθετο τοὺς χλιδῶνας καὶ τὰ ψέλλια
καὶ τοὺς δακτυλίους καὶ τὰ ἐνώτια καὶ
πάντα τὸν κόσμον αὐτῆς καὶ ἐκαλλωπίσατο
σφόδρα εἰς ἀπάτησιν ὀφθαλμῶν ἀνδρῶν,
ὅσοι ἂν ἴδωσιν αὐτήν.

5 καὶ ἔδωκε τῇ ἅβρᾳ αὐτῆς ἀσκοπυτίνην
οἴνου καὶ καψάκην ἐλαίου καὶ πήραν
ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης καὶ ἄρτων
καθαρῶν καὶ περιεδίπλωσε πάντα τὰ ἀγγεῖα
αὐτῆς καὶ ἐπέθηκεν ἐπ᾿ αὐτῇ.

6 καὶ ἐξήλθοσαν ἐπὶ τὴν πύλην τῆς πόλεως
Βαιτυλούα καὶ εὕροσαν ἐφεστῶτας ἐπ᾿
αὐτῆς Ὀζίαν καὶ τοὺς πρεσβυτέρους τῆς
πόλεως Χαβρὶν καὶ Χαρμίν.

7 ὡς δὲ εἶδον αὐτὴν καὶ ἦν ἠλλοιωμένον τὸ
πρόσωπον αὐτῆς καὶ τὴν στολὴν
μεταβεβληκυῖαν αὐτῆς, καὶ ἐθαύμασαν ἐπὶ
τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα καὶ εἶπαν
αὐτῇ·

8 ὁ Θεὸς ὁ Θεὸς τῶν πατέρων ἡμῶν δῴη σε
εἰς χάριν καὶ τελειώσαι τὰ ἐπιτηδεύματά σου
εἰς γαυρίαμα υἱῶν Ἰσραὴλ καὶ ὕψωμα
Ἱερουσαλήμ. καὶ προσεκύνησε τῷ Θεῷ

9 καὶ εἶπε πρὸς αὐτούς· ἐπιτάξατε ἀνοῖξαί
μοι τὴν πύλην τῆς πόλεως, καὶ ἐξελεύσομαι
εἰς τελείωσιν τῶν λόγων, ὧν ἐλαλήσατε μετʼ
ἐμοῦ· καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι
αὐτῇ καθότι ἐλάλησε.
10 καὶ ἐποίησαν οὕτως. καὶ ἐξῆλθεν Ἰουδίθ,
αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς μετʼ αὐτῆς·
ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως
ἕως οὗ κατέβη τὸ ὄρος, ἕως διῆλθε τὸν
αὐλῶνα καὶ οὐκέτι ἐθεώρουν αὐτήν.
11 καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς
εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προφυλακὴ
τῶν Ἀσσυρίων.
12 καὶ συνέλαβον αὐτὴν καὶ ἐπηρώτησαν·
τίνων εἶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; καὶ
εἶπε· θυγάτηρ εἰμὶ τῶν Ἑβραίων καὶ
ἀποδιδράσκω ἀπὸ προσώπου αὐτῶν, ὅτι
μέλλουσι δίδοσθαι ὑμῖν εἰς κατάβρωμα·
13 κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον
Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν
τοῦ ἀναγγεῖλαι ρήματα ἀληθείας καὶ δείξω
πρὸ προσώπου αὐτοῦ ὁδόν, καθʼ ἣν
πορεύσεται καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς,
καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ σάρξ
μία οὐδὲ πνεῦμα ζωῆς.
14 ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ρήματα
αὐτῆς καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς
καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει
σφόδρα καὶ εἶπαν πρὸς αὐτήν·
15 σέσωκας τὴν ψυχήν σου σπεύσασα
καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν·

καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐτοῦ, καὶ
ἀφ᾽ ἡμῶν προπέμψουσί σε, ἕως παραδώσουσί
σε εἰς τὰς χεῖρας αὐτοῦ·
16 ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς
τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ
ῥήματά σου, καὶ εὖ σε ποιήσει.
17 καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν
καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ
ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου.
18 καὶ ἐγένετο συνδρομὴ πάσῃ τῇ
παρεμβολῇ, διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ
παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν
αὐτὴν ὡς εἱστήκει ἔξω τῆς σκηνῆς
Ὀλοφέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ
αὐτῆς.
19 καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ
ἐθαύμαζον τοὺς υἱοὺς Ἰσραὴλ ἀπ᾽ αὐτῆς, καὶ
εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· τίς
καταφρονήσει τοῦ λαοῦ τούτου, ὃς ἔχει ἐν
ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ καλόν
ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ
ἀφεθέντες δυνήσονται κατασοφίσασθαι
πᾶσαν τὴν γῆν.
20 καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες
Ὀλοφέρνῃ καὶ πάντες οἱ θεράποντες αὐτοῦ
καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν.
21 καὶ ἦν Ὀλοφέρνης ἀναπαυόμενος ἐπὶ τῆς
κλίνης αὐτοῦ ἐν τῷ κωνωπείῳ, ὃ ἦν ἐκ
πορφύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ
λίθων πολυτελῶν καθυφασμένων.
22 καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ

ἐξῆλθεν εἰς τὸ προσκήνιον, καὶ λαμπάδες
ἀργυραῖ προάγουσαι αὐτοῦ.
23 ὡς δὲ ἦλθε κατὰ πρόσωπον αὐτοῦ Ἰουδὶθ
καὶ τῶν θεραπόντων αὐτοῦ, ἐθαύμασαν
πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς·
καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν
αὐτῷ, καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

# 11

1 ΚΑΙ ἐπορεύετο μέχρις οὗ ἐγγίσαι αὐτοὺς
εἰς Νινευῆ. καὶ εἶπε Ραφαὴλ πρὸς Τωβίαν· οὐ
γινώσκεις, ἀδελφέ, πῶς ἀφῆκας τὸν πατέρα
σου;
2 προδράμωμεν ἔμπροσθεν τῆς γυναικός
σου καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν·
3 λαβὲ δὲ παρὰ χεῖρα τὴν χολὴν τοῦ ἰχθῦος.
καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων
ὄπισθεν αὐτῶν.
4 καὶ Ἄννα ἐκάθητο περιβλεπομένη εἰς τὴν
ὁδὸν τὸν παῖδα αὐτῆς·
5 καὶ προσενόησεν αὐτὸν ἐρχόμενον καὶ
εἶπε τῷ πατρὶ αὐτοῦ· ἰδοὺ ὁ υἱός μου ἔρχεται
καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ᾿ αὐτοῦ.
6 καὶ Ραφαὴλ εἶπεν· ἐπίσταμαι ἐγὼ ὅτι
ἀνοίξει τοὺς ὀφθαλμοὺς ὁ πατήρ σου.
7 σὺ ἔγχρισον τὴν χολὴν εἰς τοὺς
ὀφθαλμοὺς αὐτοῦ, καὶ δηχθεὶς διατρίψει καὶ
ἀποβαλεῖται τὰ λευκώματα καὶ ὄψεταί σε.
8 καὶ προσδραμοῦσα Ἄννα ἐπέπεσεν ἐπὶ τὸν
τράχηλον τοῦ υἱοῦ αὐτῆς καὶ εἶπεν αὐτῷ·

εἶδόν σε, παιδίον, ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι
καὶ ἔκλαυσαν ἀμφότεροι.
9 καὶ Τωβὶτ ἐξήρχετο πρὸς τὴν θύραν καὶ
προσέκοπτεν, ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν
αὐτῷ
10 καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ καὶ
προσέπασε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς
τοῦ πατρὸς αὐτοῦ λέγων· θάρσει, πάτερ.
11 ὡς δὲ συνεδήχθησαν, διέτριψε τοὺς
ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐλεπίσθη ἀπὸ τῶν
κάνθων τῶν ὀφθαλμῶν αὐτοῦ τὰ λευκώματα.
12 καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ
τὸν τράχηλον αὐτοῦ
13 καὶ ἔκλαυσε καὶ εἶπεν· εὐλογητὸς εἶ, ὁ
Θεός, καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς
αἰῶνας, καὶ εὐλογημένοι πάντες οἱ ἅγιοί σου
ἄγγελοι· ὅτι ἐμαστίγωσας καὶ ἠλέησάς με,
ἰδοὺ βλέπω Τωβίαν τὸν υἱόν μου.
14 καὶ εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων καὶ
ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ
γενόμενα αὐτῷ ἐν τῇ Μηδίᾳ.
15 καὶ ἐξῆλθε Τωβὶτ εἰς συνάντησιν τῇ
νύμφῃ αὐτοῦ χαίρων καὶ εὐλογῶν τὸν Θεὸν
πρὸς τῇ πύλῃ Νινευῆ· καὶ ἐθαύμαζον οἱ
θεωροῦντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε.
16 καὶ Τωβὶτ ἐξωμολογεῖτο ἐνώπιον αὐτοῦ,
ὅτι ἠλέησεν αὐτοὺς ὁ Θεός· καὶ ὡς ἤγγισε
Τωβὶτ Σάρρᾳ τῇ νύμφῃ αὐτοῦ, κατευλόγησεν
αὐτὴν λέγων· ἔλθοις ὑγιαίνουσα, θύγατερ·
εὐλογητὸς ὁ Θεός, ὃς ἤγαγέ σε πρὸς ἡμᾶς, καὶ
ὁ πατήρ σου καὶ ἡ μήτηρ σου. καὶ ἐγένετο
χαρὰ πᾶσι τοῖς ἐν Νινευῆ ἀδελφοῖς αὐτοῦ.

17 καὶ παρεγένετο Ἀχιάχαρος καὶ Νασβὰς ὁ
ἐξάδελφος αὐτοῦ,
18 καὶ ἤχθη ὁ γάμος Τωβία μετ᾿ εὐφροσύνης
ἡμέρας ἑπτά.

# 11

1 ΚΑΙ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης·
θάρσησον, γύναι, μὴ φοβηθῇς τῇ καρδίᾳ σου,
ὅτι ἐγὼ οὐκ ἐκάκωσα ἄνθρωπον, ὅστις
ᾑρέτικε δουλεύειν βασιλεῖ Ναβουχοδονόσορ
πάσης τῆς γῆς.
2 καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν
ὀρεινήν, εἰ μὴ ἐφαύλισάν με, οὐκ ἂν ᾖρα τὸ
δόρυ μου ἐπ᾿ αὐτούς, ἀλλ᾿ αὐτοὶ ἑαυτοῖς
ἐποίησαν ταῦτα.
3 καὶ νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας
ἀπ᾿ αὐτῶν καὶ ἦλθες πρὸς ἡμᾶς; ἥκεις γὰρ
εἰς σωτηρίαν· θάρσει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ
καὶ εἰς τὸ λοιπόν·
4 οὐ γάρ ἐστιν ὃς ἀδικήσει σε, ἀλλ᾿ εὖ σε
ποιήσει καθὰ γίνεται τοῖς δούλοις τοῦ
κυρίου μου βασιλέως Ναβουχοδονόσορ.
5 καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· δέξαι τὰ
ρήματα τῆς δούλης σου, καὶ λαλησάτω ἡ
παιδίσκη σου κατὰ πρόσωπόν σου, καὶ οὐκ
ἀναγγελῶ ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ
ταύτῃ.
6 καὶ ἐὰν κατακολουθήσῃς τοῖς λόγοις τῆς
παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει μετὰ
σοῦ ὁ Θεός, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός
μου τῶν ἐπιτηδευμάτων αὐτοῦ·

7 ζῇ γὰρ βασιλεὺς Ναβουχοδονόσορ πάσης
τῆς γῆς καὶ ζῇ τὸ κράτος αὐτοῦ, ὃς ἀπέστειλέ
σε εἰς κατόρθωσιν πάσης ψυχῆς, ὅτι οὐ
μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ,
ἀλλὰ καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη
καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ διὰ τῆς ἰσχύος
σου ζήσονται ἐπὶ Ναβουχοδονόσορ καὶ
πάντα τὸν οἶκον αὐτοῦ·
8 ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ
πανουργεύματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη
πάσῃ τῇ γῇ ὅτι σὺ μόνος ἀγαθὸς ἐν πάσῃ
βασιλείᾳ καὶ δυνατὸς ἐν ἐπιστήμῃ καὶ
θαυμαστὸς ἐν στρατεύμασι πολέμου.
9 καὶ νῦν ὁ λόγος, ὃν ἐλάλησεν Ἀχιὼρ ἐν τῇ
συνεδρίᾳ σου, ἠκούσαμεν τὰ ρήματα αὐτοῦ,
ὅτι περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες
Βαιτυλούα, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα,
ὅσα ἐξελάλησε παρὰ σοί.
10 διό, δέσποτα κύριε, μὴ παρέλθῃς τὸν
λόγον αὐτοῦ, ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ
καρδίᾳ σου, ὅτι ἀληθής ἐστιν· οὐ γὰρ
ἐκδικᾶται τὸ γένος ἡμῶν, οὐ κατισχύει
ρομφαία ἐπ᾿ αὐτούς, ἐὰν μὴ ἁμάρτωσιν εἰς
τὸν Θεὸν αὐτῶν.
11 καὶ νῦν, ἵνα μὴ γένηται ὁ κύριός μου
ἔκβολος καὶ ἄπρακτος καὶ ἐπιπεσεῖται
θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ
κατελάβετο αὐτοὺς ἁμάρτημα, ἐν ᾧ
παροργιοῦσι τὸν Θεὸν αὐτῶν, ὁπηνίκα ἂν
ποιήσωσιν ἀτοπίαν·
12 ἐπεὶ γὰρ ἐξέλιπεν αὐτοὺς τὰ βρώματα
καὶ ἐσπανίσθη πᾶν ὕδωρ, ἐβουλεύσαντο

ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν καὶ πάντα, ὅσα διεστείλατο αὐτοῖς ὁ Θεὸς ἐν τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν, διέγνωσαν δαπανῆσαι.

13 καὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τὰς δεκάτας τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσι τοῖς παρεστηκόσιν ἐν Ἱερουσαλὴμ ἀπέναντι τοῦ προσώπου τοῦ Θεοῦ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι, ὧν οὐδὲ ταῖς χερσὶν καθῆκεν ἅψασθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ.

14 καὶ ἀπεστάλκασιν εἰς Ἱερουσαλήμ, ὅτι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα, τοὺς μετακομίσαντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας.

15 καὶ ἔσται ὡς ἂν ἀναγγείλῃ αὐτοῖς καὶ ποιήσωσι, δοθήσονταί σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

16 ὅθεν ἐγὼ ἡ δούλη σου ἐπιγνοῦσα ταῦτα πάντα ἀπέδρων ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπέστειλέ με ὁ Θεὸς ποιῆσαι μετὰ σοῦ πράγματα, ἐφ᾿ οἷς ἐκστήσεται πᾶσα ἡ γῆ, ὅσοι ἐὰν ἀκούσωσιν αὐτά.

17 ὅτι ἡ δούλη σου θεοσεβής ἐστι καὶ θεραπεύουσα νυκτὸς καὶ ἡμέρας τὸν Θεὸν τοῦ οὐρανοῦ· καὶ νῦν μενῶ παρὰ σοί, κύριέ μου, καὶ ἐξελεύσεται ἡ δούλη σου κατὰ τὴν νύκτα εἰς τὴν φάραγγα καὶ προσεύξομαι πρὸς τὸν Θεόν, καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν.

18 καὶ ἐλθοῦσα προσανοίσω σοι, καὶ ἐξελεύσῃ σὺν πάσῃ τῇ δυνάμει σου, καὶ οὐκ

ἔστιν ὃς ἀντιστήσεταί σοι ἐξ αὐτῶν.
19 καὶ ἄξω σε διὰ μέσου τῆς Ἰουδαίας ἕως
τοῦ ἐλθεῖν ἀπέναντι Ἱερουσαλὴμ καὶ θήσω
τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ ἄξεις
αὐτοὺς ὡς πρόβατα, οἷς οὐκ ἔστι ποιμήν, καὶ
οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ ἀπέναντί
σου, ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνωσίν
μου καὶ ἀπηγγέλη μοι, καὶ ἀπεστάλην
ἀναγγεῖλαί σοι.
20 καὶ ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον
Ὀλοφέρνου καὶ ἐναντίον πάντων τῶν
θεραπόντων αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ τῇ
σοφίᾳ αὐτῆς καὶ εἶπαν·
21 οὐκ ἔστι τοιαύτη γυνὴ ἀπ᾽ ἄκρου ἕως
ἄκρου τῆς γῆς καλῷ προσώπῳ καὶ συνέσει
λόγων.
22 καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· εὖ
ἐποίησεν ὁ Θεὸς ἀποστείλας σε ἔμπροσθεν
τοῦ λαοῦ τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν
κράτος, ἐν δὲ τοῖς φαυλίσασι τὸν κύριόν μου
ἀπώλειαν.
23 καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου καὶ
ἀγαθὴ ἐν τοῖς λόγοις σου· ὅτι ἐὰν ποιήσῃς
καθὰ ἐλάλησας, ὁ Θεός σου ἔσται μου Θεός,
καὶ σὺ ἐν οἴκῳ βασιλέως Ναβουχοδονόσορ
καθήσῃ καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν
γῆν.

# 12

1 ΚΑΙ ἐκάλεσε Τωβὶτ Τωβίαν τὸν υἱὸν
αὐτοῦ καὶ εἶπεν αὐτῷ· ὅρα, τέκνον, μισθὸν

τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ
προσθεῖναι αὐτῷ δεῖ.
2 καὶ εἶπε· πάτερ, οὐ βλάπτομαι δοὺς αὐτῷ
τὸ ἥμισυ, ὧν ἐνήνοχα,
3 ὅτι με ἀγήοχέ σοι ὑγιῆ καὶ τὴν γυναῖκα
μου ἐθεράπευσε καὶ τὸ ἀργύριόν μου ἤνεγκε
καὶ σὲ ὁμοίως ἐθεράπευσε.
4 καὶ εἶπεν ὁ πρεσβύτης· δικαιοῦται αὐτῷ.
5 καὶ ἐκάλεσε τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ·
λάβε τὸ ἥμισυ πάντων, ὧν ἐνηνόχατε, καὶ
ὕπαγε ὑγιαίνων.
6 τότε καλέσας τοὺς δύο κρυπτῶς εἶπεν
αὐτοῖς· εὐλογεῖτε τὸν Θεὸν καὶ αὐτῷ
ἐξομολογεῖσθε καὶ μεγαλωσύνην δίδοτε
αὐτῷ καὶ ἐξολογεῖσθε αὐτῷ ἐνώπιον πάντων
τῶν ζώντων, περὶ ὧν ἐποίησε μεθ᾿ ὑμῶν.
ἀγαθὸν τὸ εὐλογεῖν τὸν Θεὸν καὶ ὑψοῦν τὸ
ὄνομα αὐτοῦ, τοὺς λόγους τῶν ἔργων τοῦ
Θεοῦ ἐντίμως ὑποδεικνύοντες, καὶ μὴ ὀκνεῖτε
ἐξομολογεῖσθαι αὐτῷ.
7 μυστήριον βασιλέως καλὸν κρύψαι, τὰ δὲ
ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως.
ἀγαθὸν ποιήσατε, καὶ κακὸν οὐχ εὑρήσει
ὑμᾶς.
8 ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ
ἐλεημοσύνης καὶ δικαιοσύνης· ἀγαθὸν τὸ
ὀλίγον μετὰ δικαιοσύνης ἢ πολὺ μετὰ
ἀδικίας. καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ
θησαυρίσαι χρυσίον·
9 ἐλεημοσύνη γὰρ ἐκ θανάτου ρύεται, καὶ

αὐτὴ ἀποκαθαριεῖ πᾶσαν ἁμαρτίαν· οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλησθήσονται ζωῆς,
10 οἱ δὲ ἁμαρτάνοντες πολέμιοί εἰσι τῆς ἑαυτῶν ζωῆς.
11 οὐ μὴ κρύψω ἀφ᾿ ὑμῶν πᾶν ρῆμα· εἴρηκα δὴ μυστήριον βασιλέως κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως.
12 καὶ νῦν ὅτι προσηύξω σὺ καὶ ἡ νύμφη σου Σάρρα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου· καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, ὡσαύτως συμπαρήγμην σοι.
13 καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου, ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην.
14 καὶ νῦν ἀπέστειλέ με ὁ Θεὸς ἰάσασθαί σε καὶ τὴν νύμφην σου Σάρραν.
15 ἐγώ εἰμι Ραφαήλ, εἷς ἐκ τῶν ἑπτὰ ἁγίων ἀγγέλων, οἳ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων, καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου.
16 καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσον ἐπὶ πρόσωπον, ὅτι ἐφοβήθησαν.
17 καὶ εἶπεν αὐτοῖς· μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν ἔσται· τὸν δὲ Θεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα,
18 ὅτι οὐ τῇ ἐμαυτοῦ χάριτι, ἀλλὰ τῇ θελήσει τοῦ Θεοῦ ἡμῶν ἦλθον, ὅθεν εὐλογεῖτε αὐτὸν εἰς τὸν αἰῶνα.

19 πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ
οὐκ ἔφαγον οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς
ἐθεωρεῖτε.
20 καὶ νῦν ἐξομολογεῖσθε τῷ Θεῷ, διότι
ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ
γράψατε πάντα τὰ συντελεσθέντα εἰς
βιβλίον.
21 καὶ ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν.
22 καὶ ἐξωμολογοῦντο τὰ ἔργα τὰ μεγάλα
καὶ θαυμαστὰ αὐτοῦ καὶ ὡς ὤφθη αὐτοῖς ὁ
ἄγγελος Κυρίου.

# 12

1 ΚΑΙ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ
ἐτίθετο τὰ ἀργυρώματα αὐτοῦ καὶ συνέταξε
καταστρῶσαι αὐτῇ ἀπὸ τῶν ὀψοποιημάτων
αὐτοῦ καὶ τοῦ οἴνου αὐτοῦ πίνειν.
2 καὶ εἶπεν Ἰουδίθ· οὐ φάγομαι ἐξ αὐτῶν,
ἵνα μὴ γένηται σκάνδαλον, ἀλλ᾿ ἐκ τῶν
ἠκολουθηκότων μοι χορηγηθήσεται.
3 καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· ἐὰν δὲ
ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ, πόθεν ἐξοίσομέν
σοι δοῦναι ὅμοια αὐτοῖς; οὐ γάρ ἐστι μεθ᾿
ἡμῶν ἐκ τοῦ ἔθνους σου.
4 καὶ εἶπεν Ἰουδὶθ πρὸς αὐτόν· ζῇ ἡ ψυχή
σου, κύριέ μου, ὅτι οὐ δαπανήσει ἡ δούλη σου
τὰ ὄντα μετ᾿ ἐμοῦ, ἕως ἂν ποιήσῃ Κύριος ἐν
χειρί μου ἃ ἐβουλεύσατο.
5 καὶ ἠγάγοσαν αὐτὴν οἱ θεράποντες
Ὀλοφέρνου εἰς τὴν σκηνήν, καὶ ὕπνωσε μέχρι

μεσούσης τῆς νυκτός· καὶ ἀνέστη πρὸς τὴν
ἑωθινὴν φυλακήν,
6 καὶ ἀπέστειλε πρὸς Ὀλοφέρνην λέγουσα·
ἐπιταξάτω δὴ ὁ κύριός μου ἐᾶσαι τὴν δούλην
σου ἐπὶ προσευχὴν ἐξελθεῖν.
7 καὶ προσέταξεν Ὀλοφέρνης τοῖς
σωματοφύλαξι μὴ διακωλύειν αὐτήν. καὶ
παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς,
καὶ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα
Βαιτυλούα καὶ ἐβαπτίζετο ἐν τῇ παρεμβολῇ
ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος·
8 καὶ ὡς ἀνέβη, ἐδέετο τοῦ Κυρίου Θεοῦ
Ἰσραὴλ κατευθῦναι τὴν ὁδὸν αὐτῆς εἰς
ἀνάστημα τῶν υἱῶν τοῦ λαοῦ αὐτοῦ.
9 καὶ εἰσπορευομένη καθαρὰ παρέμενε τῇ
σκηνῇ, μέχρις οὗ προσηνέγκατο τὴν τροφὴν
αὐτῆς πρὸς ἑσπέραν.
10 καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ,
ἐποίησεν Ὀλοφέρνης πότον τοῖς δούλοις
αὐτοῦ μόνοις καὶ οὐκ ἐκάλεσεν εἰς τὴν
χρῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις.
11 καὶ εἶπε Βαγώᾳ τῷ εὐνούχῳ, ὃς ἦν
ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ· πεῖσον δὴ
πορευθεὶς τὴν γυναῖκα τὴν Ἑβραίαν ἥ ἐστι
παρὰ σοί, τοῦ ἐλθεῖν πρὸς ἡμᾶς καὶ φαγεῖν
καὶ πιεῖν μεθ᾿ ἡμῶν·
12 ἰδοὺ γὰρ αἰσχρὸν τῷ προσώπῳ ἡμῶν, εἰ
γυναῖκα τοιαύτην παρήσομεν οὐχ
ὁμιλήσαντες αὐτῇ, ὅτι ἐὰν ταύτην μὴ
ἐπισπασώμεθα, καταγελάσεται ἡμῶν.
13 καὶ ἐξῆλθε Βαγώας ἀπὸ προσώπου

Ὀλοφέρνου καὶ εἰσῆλθε πρὸς αὐτὴν καὶ εἶπε· μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλθοῦσα πρὸς τὸν κύριόν μου δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ καὶ πιεῖν μεθ᾽ ἡμῶν εἰς εὐφροσύνην οἶνον καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ ὡς θυγάτηρ μία τῶν υἱῶν Ἀσσούρ, αἳ παρεστήκασιν ἐν οἴκῳ Ναβουχοδονόσορ.
14 καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· καὶ τίς εἰμι ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ μου; ὅτι πᾶν, ὃ ἔσται ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀρεστόν, σπεύσασα ποιήσω, καὶ ἔσται τοῦτο ἀγαλλίαμα ἕως ἡμέρας θανάτου μου.
15 καὶ διαναστᾶσα ἐκοσμήθη τῷ ἱματισμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ, καὶ προσῆλθεν ἡ δούλη αὐτῆς καὶ ἔστρωσεν αὐτῇ κατέναντι Ὀλοφέρνου χαμαὶ τὰ κώδια, ἃ ἔλαβε παρὰ Βαγώου εἰς τὴν καθημερινὴν δίαιταν αὐτῆς, εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ᾽ αὐτῶν.
16 καὶ εἰσελθοῦσα ἀνέπεσεν Ἰουδίθ, καὶ ἐξέστη ἡ καρδία Ὀλοφέρνου ἐπ᾽ αὐτήν, καὶ ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἦν κατεπίθυμος σφόδρα τοῦ συγγενέσθαι μετ᾽ αὐτῆς· καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι αὐτὴν ἀφ᾽ ἧς ἡμέρας εἶδεν αὐτήν.
17 καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· πίε δὴ καὶ γενήθητι μεθ᾽ ἡμῶν εἰς εὐφροσύνην.
18 καὶ εἶπεν Ἰουδίθ· πίομαι δή, κύριε, ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσεώς μου.

19 καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι
αὐτοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς.
20 καὶ ηὐφράνθη Ὀλοφέρνης ἀπ᾽ αὐτῆς καὶ
ἔπιεν οἶνον πολὺν σφόδρα, ὅσον οὐκ ἔπιε
πώποτε ἐν ἡμέρᾳ μιᾷ ἀφ᾽ οὗ ἐγεννήθη.

# 13

1 ΚΑΙ Τωβὶτ ἔγραψε προσευχὴν εἰς
ἀγαλλίασιν καὶ εἶπεν· Ἑὐλογητὸς ὁ Θεὸς ὁ
ζῶν εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ,
2 ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεεῖ, κατάγει εἰς
ᾅδην καὶ ἀνάγει, καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται
τὴν χεῖρα αὐτοῦ.
3 ἐξομολογεῖσθε αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ
ἐνώπιον τῶν ἐθνῶν, ὅτι αὐτὸς διέσπειρεν
ἡμᾶς ἐν αὐτοῖς·
4 ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ,
ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος,
καθότι αὐτὸς Κύριος ἡμῶν καὶ Θεός, αὐτὸς
πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας.
5 καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις
ἡμῶν καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ
πάντων τῶν ἐθνῶν, οὗ ἐὰν σκορπισθῆτε ἐν
αὐτοῖς.
6 ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ
καρδίᾳ ὑμῶν καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν
ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν, τότε
ἐπιστρέψει πρὸς ὑμᾶς καὶ οὐ μὴ κρύψῃ τὸ
πρόσωπον αὐτοῦ ἀφ᾽ ὑμῶν. καὶ θεάσασθε ἃ
ποιήσει μεθ᾽ ὑμῶν, καὶ ἐξομολογήσασθε
αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν· καὶ

εὐλογήσατε τὸν Κύριον τῆς δικαιοσύνης καὶ
ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων. ἐγὼ ἐν τῇ
γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι
αὐτῷ καὶ δεικνύω τὴν ἰσχὺν καὶ τὴν
μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῶν.
ἐπιστρέψατε, ἁμαρτωλοί, καὶ ποιήσατε
δικαιοσύνην ἐνώπιον αὐτοῦ· τίς γινώσκει εἰ
θελήσει ὑμᾶς καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν;
7 τὸν Θεόν μου ὑψῶ καὶ ἡ ψυχή μου τὸν
βασιλέα τοῦ οὐρανοῦ καὶ ἀγαλλιάσεται τὴν
μεγαλωσύνην αὐτοῦ.
8 λεγέτωσαν πάντες καὶ ἐξομολογείσθωσαν
αὐτῷ ἐν Ἱεροσολύμοις·
9 Ἱεροσόλυμα πόλις ἁγία, μαστιγώσει ἐπὶ
τὰ ἔργα τῶν υἱῶν σου καὶ πάλιν ἐλεήσει τοὺς
υἱοὺς τῶν δικαίων.
10 ἐξομολογοῦ τῷ Κυρίῳ ἀγαθῶς καὶ
εὐλόγει τὸν βασιλέα τῶν αἰώνων, ἵνα πάλιν ἡ
σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς,
καὶ εὐφράναι ἐν σοὶ τοὺς αἰχμαλώτους καὶ
ἀγαπῆσαι ἐν σοὶ τοὺς ταλαιπώρους εἰς
πάσας τὰς γενεὰς τοῦ αἰῶνος.
11 ἔθνη πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα
Κυρίου τοῦ Θεοῦ δῶρα ἐν χερσὶν ἔχοντες καὶ
δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ, γενεαὶ γενεῶν
δώσουσί σοι ἀγαλλίαμα.
12 ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε,
εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές
σε εἰς τὸν αἰῶνα.
13 χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς
τῶν δικαίων, ὅτι συναχθήσονται καὶ

εὐλογήσουσι τὸν Κύριον τῶν δικαίων.
14 ὢ μακάριοι οἱ ἀγαπῶντές σε, χαρήσονται
ἐπὶ τῇ εἰρήνῃ σου. μακάριοι ὅσοι ἐλυπήθησαν
ἐπὶ πάσαις ταῖς μάστιξί σου, ὅτι ἐπὶ σοὶ
χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν
σου καὶ εὐφρανθήσονται εἰς τὸν αἰῶνα.
15 ἡ ψυχή μου εὐλογείτω τὸν Θεὸν τὸν
βασιλέα τὸν μέγαν,
16 ὅτι οἰκοδομηθήσεται Ἱερουσαλὴμ
σαπφείρῳ καὶ σμαράγδῳ καὶ λίθῳ ἐντίμῳ τὰ
τείχη σου καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν
χρυσίῳ καθαρῷ,
17 καὶ αἱ πλατεῖαι Ἱερουσαλὴμ ἐν βηρύλλῳ
καὶ ἄνθρακι καὶ λίθῳ ἐκ Σουφεὶρ
ψηφολογηθήσονται.
18 καὶ ἐροῦσι πᾶσαι αἱ ρύμαι αὐτῆς,
ἀλληλούϊα καὶ αἰνέσουσι λέγοντες·
εὐλογητὸς ὁ Θεός, ὃς ὕψωσε πάντας τοὺς
αἰῶνας'.

# 13

1 ΩΣ δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ
δοῦλοι αὐτοῦ ἀναλύειν. καὶ Βαγώας
συνέκλεισε τὴν σκηνὴν ἔξωθεν καὶ ἀπέκλεισε
τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου
αὐτοῦ, καὶ ἀπῴχοντο εἰς τὰς κοίτας αὐτῶν·
ἦσαν γὰρ πάντες κεκοπωμένοι, διὰ τὸ ἐπὶ
πλεῖον γεγονέναι τὸν πότον.
2 ὑπελείφθη δὲ Ἰουδὶθ μόνη ἐν τῇ σκηνῇ,
καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην
αὐτοῦ· ἦν γὰρ περικεχυμένος αὐτῷ ὁ οἶνος.

3 καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς στῆναι
ἔξω τοῦ κοιτῶνος αὐτῆς καὶ ἐπιτηρεῖν τὴν
ἔξοδον αὐτῆς· καθάπερ καθ᾿ ἡμέραν,
ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν
αὐτῆς· καὶ τῷ Βαγώᾳ ἐλάλησε κατὰ τὰ
ρήματα ταῦτα.

4 καὶ ἀπήλθοσαν πάντες ἐκ προσώπου, καὶ
οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ
ἕως μεγάλου καὶ στᾶσα Ἰουδὶθ παρὰ τὴν
κλίνην αὐτοῦ εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς·
Κύριε ὁ Θεὸς πάσης δυνάμεως, ἐπίβλεψον ἐν
τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν μου εἰς
ὕψωμα Ἱερουσαλήμ·

5 ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς
κληρονομίας σου καὶ ποιῆσαι τὸ ἐπιτήδευμά
μου εἰς θραῦμα ἐχθρῶν, οἵ ἐπανέστησαν ἡμῖν.

6 καὶ προσελθοῦσα τῷ κανόνι τῆς κλίνης,
ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου, καθεῖλε τὸν
ἀκινάκην αὐτοῦ ἀπ᾿ αὐτοῦ

7 καὶ ἐγγίσασα τῆς κλίνης ἐδράξατο τῆς
κόμης τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπε·
κραταίωσόν με, ὁ Θεὸς Ἰσραήλ, ἐν τῇ ἡμέρᾳ
ταύτῃ.

8 καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς
ἐν τῇ ἰσχύϊ αὐτῆς καὶ ἀφεῖλε τὴν κεφαλὴν
αὐτοῦ ἀπ᾿ αὐτοῦ,

9 καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς
στρωμνῆς καὶ ἀφεῖλε τὸ κωνωπεῖον ἀπὸ τῶν
στύλων. καὶ μετ᾿ ὀλίγον ἐξῆλθε, καὶ
παρέδωκε τῇ ἅβρᾳ αὐτῆς τὴν κεφαλὴν
Ὀλοφέρνου,

10 καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν
βρωμάτων αὐτῆς. καὶ ἐξῆλθον αἱ δύο ἅμα
κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐπὶ τὴν προσευχήν·
καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν
τὴν φάλαγγα ἐκείνην καὶ προσανέβησαν τὸ
ὄρος Βαιτυλούα καὶ ἤλθοσαν πρὸς τὰς πύλας
αὐτῆς.

11 Καὶ εἶπεν Ἰουδὶθ μακρόθεν τοῖς
φυλάσσουσιν ἐπὶ τῶν πυλῶν· ἀνοίξατε,
ἀνοίξατε δὴ τὴν πύλην, μεθ᾿ ἡμῶν ὁ Θεὸς ὁ
Θεὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ κατὰ
κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ καὶ σήμερον
ἐποίησε.
12 καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς
πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν
τοῦ καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως
αὐτῶν καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους
τῆς πόλεως.
13 καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως
μεγάλου, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν
αὐτήν, καὶ ἤνοιξαν τὴν πύλην καὶ
ὑπεδέξαντο αὐτὰς καὶ ἅψαντες πῦρ εἰς
φαῦσιν περιεκύκλωσαν αὐτάς.
14 ἡ δὲ εἶπε πρὸς αὐτοὺς φωνῇ μεγάλῃ·
αἰνεῖτε τὸν Θεόν, αἰνεῖτε· αἰνεῖτε τὸν Θεόν,
ὃς οὐκ ἀπέστησε τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ
οἴκου Ἰσραήλ, ἀλλ᾿ ἔθραυσε τοὺς ἐχθροὺς
ἡμῶν διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ.
15 καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας
ἔδειξε καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ἡ κεφαλὴ
Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως

Ἀσσούρ, καὶ ἰδοὺ τὸ κωνωπεῖον, ἐν ᾧ
κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ· καὶ
ἐπάταξεν αὐτὸν ὁ Κύριος ἐν χειρὶ θηλείας·

16 καὶ ζῇ Κύριος, ὃς διεφύλαξέ με ἐν τῇ ὁδῷ
μου, ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ
πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ, καὶ οὐκ
ἐποίησεν ἁμάρτημα μετʼ ἐμοῦ εἰς μίασμα καὶ
αἰσχύνην.

17 καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα καὶ
κύψαντες προσεκύνησαν τῷ Θεῷ καὶ εἶπαν
ὁμοθυμαδόν· εὐλογητὸς εἶ, ὁ Θεὸς ἡμῶν, ὁ
ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς
ἐχθροὺς τοῦ λαοῦ σου.

18 καὶ εἶπεν αὐτῇ Ὀζίας· εὐλογητὴ σύ,
θύγατερ, τῷ Θεῷ τῷ Ὑψίστῳ παρὰ πάσας τὰς
γυναῖκας τὰς ἐπὶ τῆς γῆς, καὶ εὐλογημένος
Κύριος ὁ Θεός, ὃς ἔκτισε τοὺς οὐρανοὺς καὶ
τὴν γῆν, ὃς κατεύθυνέ σε εἰς τραῦμα κεφαλῆς
ἄρχοντος ἐχθρῶν ἡμῶν·

19 ὅτι οὐκ ἀποστήσεται ἡ ἐλπίς σου ἀπὸ
καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν
Θεοῦ ἕως αἰῶνος.

20 καὶ ποιῆσαι σοι αὐτὰ ὁ Θεὸς εἰς ὕψος
αἰώνιον τοῦ ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς,
ἀνθʼ ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν
ταπείνωσιν τοῦ γένους ἡμῶν, ἀλλʼ ἐπεξῆλθες
πτώματι ἡμῶν ἐπʼ εὐθεῖαν πορευθεῖσα
ἐνώπιον τοῦ Θεοῦ ἡμῶν. καὶ εἶπαν πᾶς ὁ
λαός· γένοιτο, γένοιτο.

# 14

1 ΚΑΙ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ.
2 καὶ ἦν ἐτῶν πεντηκονταοκτώ, ὅτε
ἀπώλεσε τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ
ἀνέβλεψε. καὶ ἐποίει ἐλεημοσύνας καὶ
προσέθετο φοβεῖσθαι Κύριον τὸν Θεὸν καὶ
ἐξωμολογεῖτο αὐτῷ.
3 μεγάλως δὲ ἐγήρασε· καὶ ἐκάλεσε τὸν
υἱὸν αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν
αὐτῷ· τέκνον, λάβε τοὺς υἱούς σου· ἰδοὺ
γεγήρακα καὶ πρὸς τὸ ἀποτρέχειν ἐκ τοῦ ζῆν
εἰμι.
4 ἄπελθε εἰς τὴν Μηδίαν, τέκνον, ὅτι
πέπεισμαι ὅσα ἐλάλησεν Ἰωνᾶς ὁ προφήτης
περὶ Νινευῆ, ὅτι καταστραφήσεται, ἐν δὲ τῇ
Μηδίᾳ ἔσται εἰρήνη μᾶλλον ἕως καιροῦ, καὶ
ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ
σκορπισθήσονται ἀπὸ τῆς ἀγαθῆς γῆς, καὶ
Ἱεροσόλυμα ἔσται ἔρημος, καὶ ὁ οἶκος τοῦ
Θεοῦ ἐν αὐτῇ κατακαήσεται καὶ ἔρημος
ἔσται μέχρι χρόνου.
5 καὶ πάλιν ἐλεήσει αὐτοὺς ὁ Θεὸς καὶ
ἐπιστρέψει αὐτοὺς εἰς τὴν γῆν, καὶ
οἰκοδομήσουσι τὸν οἶκον, οὐχ οἷος ὁ
πρότερος, ἕως πληρωθῶσι καιροὶ τοῦ αἰῶνος.
καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν ἐκ τῶν
αἰχμαλωσιῶν καί οἰκοδομήσουσιν
Ἱερουσαλὴμ ἐντίμως, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐν
αὐτῇ οἰκοδομηθήσεται εἰς πάσας τὰς γενεὰς
τοῦ αἰῶνος οἰκοδομῇ ἐνδόξῳ, καθὼς
ἐλάλησαν περὶ αὐτῆς οἱ προφῆται.

6 καὶ πάντα τὰ ἔθνη ἐπιστρέψουσιν
ἀληθινῶς φοβεῖσθαι Κύριον τὸν Θεὸν καὶ
κατορύξουσι τὰ εἴδωλα αὐτῶν, καὶ
εὐλογήσουσι πάντα τὰ ἔθνη Κύριον.
7 καὶ ὁ λαὸς αὐτοῦ ἐξομολογήσεται τῷ Θεῷ,
καὶ ὑψώσει Κύριος τὸν λαὸν αὐτοῦ, καὶ
χαρήσονται πάντες οἱ ἀγαπῶντες Κύριον τὸν
Θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, ποιοῦντες
ἔλεος τοῖς ἀδελφοῖς ἡμῶν.
8 καὶ νῦν, τέκνον, ἄπελθε ἀπὸ Νινευῆ, ὅτι
πάντως ἔσται ἃ ἐλάλησεν ὁ προφήτης Ἰωνᾶς.
9 σὺ δὲ τήρησον τὸν νόμον καὶ τὰ
προστάγματα καὶ γενοῦ φιλελεήμων καὶ
δίκαιος, ἵνα σοι καλῶς ᾖ. καὶ θάψον με
καλῶς καὶ τὴν μητέρα σου μετ᾿ ἐμοῦ, καὶ
μηκέτι αὐλισθῆτε εἰς Νινευῆ.
10 τέκνον, ἰδὲ τί ἐποίησεν Ἀμὰν Ἀχιαχάρῳ
τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν
αὐτὸν εἰς τὸ σκότος, καὶ ὅσα ἀνταπέδωκεν
αὐτῷ· καὶ Ἀχιάχαρος μὲν ἐσώθη, ἐκείνῳ δὲ
τὸ ἀνταπόδομα ἐπεδόθη, καὶ αὐτὸς κατέβη
εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν
ἐλεημοσύνην καὶ ἐσώθη ἐκ παγίδος θανάτου,
ἧς ἔπηξεν αὐτῷ, Ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν
παγίδα καὶ ἀπώλετο.
11 καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημοσύνη
ποιεῖ, καὶ τί δικαιοσύνη ρύεται. καὶ ταῦτα
αὐτοῦ λέγοντος, ἐξέλιπεν ἡ ψυχὴ αὐτοῦ ἐπὶ
τῆς κλίνης· ἦν δὲ ἐτῶν ἑκατὸν
πεντηκονταοκτώ, καὶ ἔθαψαν αὐτὸν ἐνδόξως.
12 καὶ ὅτε ἀπέθανεν Ἄννα, ἔθαψεν αὐτὴν

μετὰ τοῦ πατρὸς αὐτοῦ, ἀπῆλθε δὲ Τωβίας
μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ
εἰς Ἐκβάτανα πρὸς Ραγουὴλ τὸν πενθερὸν
αὐτοῦ,
13 καὶ ἐγήρασεν ἐντίμως καὶ ἔθαψε τοὺς
πενθεροὺς αὐτοῦ ἐνδόξως καὶ ἐκληρονόμησε
τὴν οὐσίαν αὐτῶν καὶ Τωβὶτ τοῦ πατρὸς
αὐτοῦ.
14 καὶ ἀπέθανεν ἐτῶν ἑκατὸν εἰκοσιεπτὰ ἐν
Ἐκβατάνοις τῆς Μηδίας.
15 καὶ ἤκουσε πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν
ἀπώλειαν Νινευῆ, ἣν ᾐχμαλώτισε
Ναβουχοδονόσορ καὶ Ἀσύηρος, καὶ ἐχάρη πρὸ
τοῦ ἀποθανεῖν ἐπὶ Νινευῆ.

———————————————————- ΙΟΥΔΙΘ

# 14

1 ΚΑΙ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· ἀκούσατε δή
μου, ἀδελφοί, καὶ λαβόντες τὴν κεφαλὴν
ταύτην κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως
τοῦ τείχους ὑμῶν.
2 καὶ ἔσται ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρθρος καὶ
ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν, ἀναλήψεσθε
ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ ὑμῶν καὶ
ἐξελεύσεσθε πᾶς ἀνὴρ ἰσχύων ἔξω τῆς
πόλεως καὶ δώσετε ἀρχηγὸν εἰς αὐτοὺς ὡς
καταβαίνοντες ἐπὶ τὸ πεδίον εἰς τὴν
προφυλακὴν υἱῶν Ἀσσούρ, καὶ οὐ
καταβήσεσθε.
3 καὶ ἀναλαβόντες οὗτοι τὰς πανοπλίας
αὐτῶν πορεύσονται εἰς τὴν παρεμβολὴν
αὐτῶν καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς

δυνάμεως Ἀσσούρ· καὶ συνδραμοῦνται ἐπὶ
τὴν σκηνὴν Ὀλοφέρνου καὶ οὐχ εὑρήσουσιν
αὐτόν, καὶ ἐπιπεσεῖται ἐπ᾿ αὐτοὺς φόβος,
καὶ φεύξονται ἀπὸ προσώπου ὑμῶν.
4 καὶ ἐπακολουθήσαντες ὑμεῖς καὶ πάντες
οἱ κατοικοῦντες πᾶν ὅριον Ἰσραήλ,
καταστρώσατε αὐτοὺς ἐν ταῖς ὁδοῖς αὐτῶν.
5 πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα, καλέσατέ μοι
Ἀχιὼρ τὸν Ἀμανίτην, ἵνα ἰδὼν ἐπιγνῷ τὸν
ἐκφαυλίσαντα τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ
αὐτὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς
ἡμᾶς.
6 καὶ ἐκάλεσαν τὸν Ἀχιὼρ ἐκ τοῦ οἴκου
Ὀζία· ὡς δὲ ἦλθε καὶ εἶδε τὴν κεφαλὴν
Ὀλοφέρνου ἐν χειρὶ ἀνδρὸς ἑνὸς ἐν τῇ
ἐκκλησίᾳ τοῦ λαοῦ, ἔπεσεν ἐπὶ πρόσωπον,
καὶ ἐξελύθη τὸ πνεῦμα αὐτοῦ.
7 ὡς δὲ ἀνέλαβον αὐτόν, προσέπεσε τοῖς
ποσὶν Ἰουδὶθ καὶ προσεκύνησε τῷ προσώπῳ
αὐτῆς καὶ εἶπεν· εὐλογημένη σὺ ἐν παντὶ
σκηνώματι Ἰούδα καὶ ἐν παντὶ ἔθνει, οἵτινες
ἀκούσαντες τὸ ὄνομά σου ταραχθήσονται·
8 καὶ νῦν ἀνάγγειλόν μοι ὅσα ἐποίσας ἐν
ταῖς ἡμέραις ταύταις. καὶ ἀπήγγειλεν αὐτῷ
Ἰουδὶθ ἐν μέσῳ τοῦ λαοῦ πάντα, ὅσα ἦν
πεποιηκυῖα, ἀφ᾿ ἧς ἡμέρας ἐξῆλθεν ἕως οὗ
ἐλάλει αὐτοῖς.
9 ὡς δὲ ἐπαύσατο λαλοῦσα, ἠλάλαξεν ὁ
λαὸς φωνῇ μεγάλῃ καὶ ἔδωκε φωνὴν
εὐφρόσυνον ἐν τῇ πόλει αὐτῶν.
10 ἰδὼν δὲ Ἀχιὼρ πάντα, ὅσα ἐποίησεν ὁ

Θεὸς τοῦ Ἰσραήλ, ἐπίστευσε τῷ Θεῷ σφόδρα
καὶ περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας
αὐτοῦ καὶ προσετέθη πρὸς τὸν οἶκον Ἰσραὴλ
ἕως τῆς ἡμέρας ταύτης.

11 Ἡνίκα δὲ ὁ ὄρθρος ἀνέβη, καὶ ἐκρέμασαν
τὴν κεφαλὴν Ὀλοφέρνου ἐκ τοῦ τείχους, καὶ
ἀνέλαβε πᾶς ἀνὴρ Ἰσραὴλ τὰ ὅπλα αὐτοῦ καὶ
ἐξήλθοσαν κατὰ σπείρας ἐπὶ τὰς ἀναβάσεις
τοῦ ὄρους.
12 οἱ δὲ υἱοὶ Ἀσσοὺρ ὡς εἶδον αὐτούς,
διέπεμψαν ἐπὶ τοὺς ἡγουμένους αὐτῶν· οἱ δὲ
ἦλθον ἐπὶ στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ
πάντα ἄρχοντα αὐτῶν.
13 καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν
Ὀλοφέρνου καὶ εἶπαν τῷ ὄντι ἐπὶ πάντων
τῶν αὐτοῦ· ἔγειρον δὴ τὸν κύριον ἡμῶν, ὅτι
ἐτόλμησαν οἱ δοῦλοι καταβαίνειν ἐφ᾽ ἡμᾶς
εἰς πόλεμον, ἵνα ἐξολοθρευθῶσιν εἰς τέλος.
14 καὶ εἰσῆλθε Βαγώας καὶ ἔκρουσε τὴν
αὐλαίαν τῆς σκηνῆς· ὑπενοεῖτο γὰρ
καθεύδειν αὐτὸν μετὰ Ἰουδίθ·
15 ὡς δὲ οὐδεὶς ἐπήκουσε, διαστείλας
εἰσῆλθεν εἰς τὸν κοιτῶνα καὶ εὗρεν αὐτὸν
ἐπὶ τῆς χελωνίδος ἐρριμμένον νεκρόν, καὶ ἡ
κεφαλὴ αὐτοῦ ἀφῃ£ρετο ἀπ᾽ αὐτοῦ.
16 καὶ ἐβόησε φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ
καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς καὶ διέρρηξε
τὰ ἱμάτια αὐτοῦ.
17 καὶ εἰσῆλθεν εἰς τὴν σκηνήν, οὗ ἦν
Ἰουδὶθ καταλύουσα, καὶ οὐχ εὗρεν αὐτήν· καὶ

ἐξεπήδησεν εἰς τὸν λαὸν κράζων·
18 ἠθέτησαν οἱ δοῦλοι, ἐποίησεν αἰσχύνην
μία γυνὴ τῶν Ἑβραίων εἰς τὸν οἶκον τοῦ
βασιλέως Ναβουχοδονόσορ· ὅτι ἰδοὺ
Ὀλοφέρνης χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν
ἐπ᾿ αὐτῷ.
19 ὡς δὲ ἤκουσαν ταῦτα τὰ ρήματα οἱ
ἄρχοντες τῆς δυνάμεως Ἀσσούρ, τοὺς
χιτῶνας αὐτῶν διέρρηξαν, καὶ ἐταράχθη ἡ
ψυχὴ αὐτῶν σφόδρα, καὶ ἐγένετο αὐτῶν
κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς
παρεμβολῆς.

# 15

1 ΚΑΙ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν
ὄντες, ἐξέστησαν ἐπὶ τὸ γεγονός,
2 καὶ ἐπέπεσεν ἐπ᾿ αὐτοὺς φόβος καὶ
τρόμος, καὶ οὐκ ἦν ἄνθρωπος μένων κατὰ
πρόσωπον τοῦ πλησίον ἔτι, ἀλλ᾿ ἐκχυθέντες
ὁμοθυμαδὸν ἔφευγον ἐπὶ πᾶσαν ὁδὸν τοῦ
πεδίου καὶ τῆς ὀρεινῆς·
3 καὶ οἱ παρεμβεβληκότες ἐν τῇ ὀρεινῇ
κύκλῳ Βαιτυλούα καὶ ἐτράπησαν εἰς φυγήν.
καὶ τότε οἱ υἱοὶ Ἰσραήλ, πᾶς ἀνὴρ πολεμιστὴς
ἐξ αὐτῶν, ἐξεχύθησαν ἐπ᾿ αὐτούς.
4 καὶ ἀπέστειλεν Ὀζίας εἰς Βαιτομασθαὶμ
καὶ Βηβαΐ καὶ Κωλὰ καὶ εἰς πᾶν ὅριον Ἰσραὴλ
τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν
συντετελεσμένων καὶ ἵνα πάντες ἐπεκχυθῶσι
τοῖς πολεμίοις εἰς τὴν ἀναίρεσιν αὐτῶν.

5 ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ἰσραήλ, πάντες
ὁμοθυμαδὸν ἐπέπεσον ἐπ᾿ αὐτοὺς καὶ
ἔκοπτον αὐτοὺς ἕως Χωβά, ὡσαύτως δὲ καὶ
οἱ ἐξ Ἱερουσαλὴμ παρεγενήθησαν καὶ ἐκ
πάσης τῆς ὀρεινῆς, ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ
γεγονότα τῇ παρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν·
καὶ οἱ ἐν Γαλαὰδ καὶ οἱ ἐν τῇ Γαλιλαίᾳ
ὑπερεκέρασαν αὐτοὺς πληγῇ μεγάλῃ, ἕως οὗ
παρῆλθον Δαμασκὸν καὶ τὰ ὅρια αὐτῆς.
6 οἱ δὲ λοιποὶ οἱ κατοικοῦντες Βαιτυλούα
ἐπέπεσαν τῇ παρεμβολῇ Ἀσσοὺρ καὶ
ἐπρονόμευσαν αὐτοὺς καὶ ἐπλούτησαν
σφόδρα.
7 οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀναστρέψαντες ἀπὸ τῆς
κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶμαι
καὶ αἱ ἐπαύλεις ἐν τῇ ὀρεινῇ καὶ πεδινῇ
ἐκράτησαν πολλῶν λαφύρων, ἦν γὰρ πλῆθος
πολὺ σφόδρα.
8 καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ
γερουσία τῶν υἱῶν Ἰσραὴλ οἱ κατοικοῦντες
ἐν Ἱερουσαλὴμ ἦλθον τοῦ θεάσασθαι τὰ
ἀγαθά, ἃ ἐποίησε Κύριος τῷ Ἰσραήλ, καὶ τοῦ
ἰδεῖν τὴν Ἰουδὶθ καὶ λαλῆσαι μετ᾿ αὐτῆς
εἰρήνην.
9 ὡς δὲ εἰσῆλθον πρὸς αὐτήν, εὐλόγησαν
αὐτὴν πάντες ὁμοθυμαδὸν καὶ εἶπαν πρὸς
αὐτήν· σὺ ὕψωμα Ἰσραήλ, σὺ γαυρίαμα μέγα
τοῦ Ἰσραήλ, σὺ καύχημα μέγα τοῦ γένους
ἡμῶν·
10 ἐποίησας πάντα ταῦτα ἐν χειρί σου,
ἐποίησας τὰ ἀγαθὰ μετὰ Ἰσραήλ, καὶ

εὐδόκησεν ἐπ᾽ αὐτοῖς ὁ Θεός· εὐλογημένη
γίνου παρὰ τῷ παντοκράτορι Κυρίῳ εἰς τὸν
αἰῶνα χρόνον. καὶ εἶπε ὁ λαός· γένοιτο
11 καὶ ἐλαφύρευσε πᾶς ὁ λαὸς τὴν
παρεμβολὴν ἐφ᾽ ἡμέρας τριάκοντα· καὶ
ἔδωκαν τῇ Ἰουδὶθ τὴν σκηνὴν Ὀλοφέρνου καὶ
πάντα τὰ ἀργυρώματα καὶ τὰς κλίνας καὶ τὰ
ὅλκια καὶ πάντα τὰ σκευάσματα αὐτοῦ. καὶ
λαβοῦσα αὕτη ἐπέθηκεν ἐπὶ τὴν ἡμίονον
αὐτῆς καὶ ἔζευξε τὰς ἁμάξας αὐτῆς καὶ
ἐσώρευσεν αὐτὰ ἐπ᾽ αὐτῶν.
12 καὶ συνέδραμε πᾶσα γυνὴ Ἰσραὴλ τοῦ
ἰδεῖν αὐτὴν καὶ εὐλόγησαν αὐτὴν καὶ
ἐποίησαν αὐτῇ χορὸν ἐξ αὐτῶν, καὶ ἔλαβε
θύρσους ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔδωκε ταῖς
γυναιξὶ ταῖς μετ᾽ αὐτῆς.
13 καὶ ἐστεφανώσαντο τὴν ἐλαίαν, αὐτὴ καὶ
αἱ μετ᾽ αὐτῆς, καὶ προῆλθε παντὸς τοῦ λαοῦ
ἐν χορείᾳ ἡγουμένη πασῶν τῶν γυναικῶν,
καὶ ἠκολούθει πᾶς ἀνὴρ Ἰσραὴλ
ἐνωπλισμένοι μετὰ στεφάνων καὶ ὕμνων ἐν
τῷ στόματι αὐτῶν.
14 καὶ ἐξῆρχεν Ἰουδὶθ τὴν ἐξομολόγησιν
ταύτην ἐν παντὶ Ἰσραήλ, καὶ ὑπεφώνει πᾶς ὁ
λαὸς τὴν αἴνεσιν ταύτην.

## 16

1 ΚΑΙ εἶπεν Ἰουδίθ· Ἐξάρχετε τῷ Θεῷ μου
ἐν τυμπάνοις, ᾄσατε τῷ Κυρίῳ μου ἐν
κυμβάλοις, ἐναρμόσασθε αὐτῷ ψαλμὸν

καινόν, ὑψοῦτε καὶ ἐπικαλέσασθε τὸ ὄνομα
αὐτοῦ,
2 ὅτι Θεὸς συντρίβων πολέμους Κύριος, ὅτι
εἰς παρεμβολὰς αὐτοῦ μέσῳ λαοῦ ἐξείλατό
με ἐκ χειρὸς τῶν καταδιωκόντων με.
3 ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βορρᾶ, ἦλθεν
ἐν μυριάσι δυνάμεως αὐτοῦ, ὧν τὸ πλῆθος
αὐτῶν ἐνέφραξε χειμάρρους, καὶ ἡ ἵππος
αὐτῶν ἐκάλυψε βουνούς.
4 εἶπεν ἐμπρήσειν τὰ ὅριά μου καὶ τοὺς
νεανίσκους μου ἀνελεῖν ἐν ρομφαίᾳ καὶ τὰ
θηλάζοντά μου θήσειν εἰς ἔδαφος καὶ τὰ
νήπιά μου δώσειν εἰς προνομὴν καὶ τὰς
παρθένους μου σκυλεῦσαι.
5 Κύριος παντοκράτωρ ἠθέτησεν αὐτοὺς ἐν
χειρὶ θηλείας.
6 οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ
νεανίσκων, οὐδὲ υἱοὶ τιτάνων ἐπάταξαν
αὐτόν, οὐδὲ ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ,
ἀλλὰ Ἰουδὶθ θυγάτηρ Μεραρὶ ἐν κάλλει
προσώπου αὐτῆς παρέλυσεν αὐτόν·
7 ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς
εἰς ὕψος τῶν πονούντων ἐν Ἰσραήλ,
ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ
8 καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ
καὶ ἔλαβε στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ·
9 τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν
αὐτοῦ, καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισε
ψυχὴν αὐτοῦ, διῆλθεν ὁ ἀκινάκης τὸν
τράχηλον αὐτοῦ.
10 ἔφριξαν Πέρσαι τὴν τόλμαν αὐτῆς, καὶ

Μῆδοι τὸ θράσος αὐτῆς ἐρράχθησαν.
11 τότε ἠλάλαξαν οἱ ταπεινοί μου, καὶ
ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ
ἐπτοήθησαν, ὕψωσαν τὴν φωνὴν αὐτῶν καὶ
ἀνετράπησαν.
12 υἱοὶ κορασίων κατεκέντησαν αὐτοὺς καὶ
ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον
αὐτούς, ἀπώλοντο ἐκ παρατάξεως Κυρίου
μου.
13 ὑμνήσω τῷ Θεῷ μου ὕμνον καινόν· Κύριε,
μέγας εἶ καὶ ἔνδοξος, θαυμαστὸς ἐν ἰσχύϊ,
ἀνυπέρβλητος.
14 σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου· ὅτι
εἶπας, καὶ ἐγενήθησαν, ἀπέστειλας τὸ
πνεῦμά σου, καὶ ᾠκοδόμησε· καὶ οὐκ ἔστιν ὃς
ἀντιστήσεται τῇ φωνῇ σου.
15 ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι
σαλευθήσεται, πέτραι δὲ ἀπὸ προσώπου σου
ὡς κηρὸς τακήσονται, ἔτι δὲ τοῖς
φοβουμένοις σε, σὺ εὐιλατεύεις αὐτοῖς.
16 ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν
εὐωδίας, καὶ ἐλάχιστον πᾶν στέαρ εἰς
ὁλοκαύτωμά σοι· ὁ δὲ φοβούμενος τὸν
Κύριον μέγας διαπαντός.
17 οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει
μου· Κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς
ἐν ἡμέρᾳ κρίσεως δοῦναι πῦρ καὶ σκώληκας
εἰς σάρκας αὐτῶν, καὶ κλαύσονται ἐν
αἰσθήσει ἕως αἰῶνος.

18 Ὡς δὲ ἦλθοσαν εἰς Ἱερουσαλήμ,
προσεκύνησαν τῷ Θεῷ. καὶ ἡνίκα

ἐκαθαρίσθη ὁ λαός, ἀνήνεγκαν τὰ
ὁλοκαυτώματα αὐτῶν καὶ τὰ ἑκούσια αὐτῶν
καὶ τὰ δόματα.
19 καὶ ἀνέθηκεν Ἰουδὶθ πάντα τὰ σκεύη
Ὀλοφέρνου, ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ, καὶ τὸ
κωνωπεῖον, ὃ ἔλαβεν αὕτη ἐκ τοῦ κοιτῶνος
αὐτοῦ, ὡς ἀνάθημα τῷ Θεῷ ἔδωκε.
20 καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν
Ἰερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων ἐπὶ
μῆνας τρεῖς, καὶ Ἰουδὶθ μετ᾿ αὐτῶν
κατέμεινε.

21 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν
ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ
Ἰουδὶθ ἀπῆλθεν εἰς Βαιτυλούα καὶ
κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ
ἐγένετο κατὰ τὸν καιρὸν αὐτῆς ἔνδοξος ἐν
πάσῃ τῇ γῇ.
22 καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν, καὶ οὐκ
ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς
αὐτῆς, ἀφ᾿ ἧς ἡμέρας ἀπέθανε Μανασσῆς ὁ
ἀνὴρ αὐτῆς, καὶ προσετέθη πρὸς τὸν λαὸν
αὐτοῦ.
23 καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα καὶ
ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη
ἑκατὸν πέντε· καὶ ἀφῆκε τὴν ἅβραν αὐτῆς
ἐλευθέραν. καὶ ἀπέθανεν εἰς Βαιτυλούα, καὶ
ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς
αὐτῆς Μανασσῆ,
24 καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ
ἡμέρας ἑπτά. καὶ διεῖλε τὰ ὑπάρχοντα αὐτῆς
πρὸ τοῦ ἀποθανεῖν αὐτὴν πᾶσι τοῖς ἔγγιστα

Μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς καὶ τοῖς ἔγγιστα
τοῦ γένους αὐτῆς.
25 καὶ οὐκ ἦν ἔτι ὁ ἐκφοβῶν τοὺς υἱοὺς
Ἰσραὴλ ἐν ταῖς ἡμέραις Ἰουδὶθ καὶ μετὰ τὸ
ἀποθανεῖν αὐτὴν ἡμέρας πολλάς.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a